καὶ τοῖς περὶ τὰ μαθήματα ἐσπουδακόσιν, ἀλλὰ καὶ οἷς τὰ φυσικὰ μαθήματα περιεσπούδασται, οὐ πάνυ τι σπουδάζεται τοῦ ἀνδρὸς τὰ συγγράμματα, ὅτι μήτε τὰ τῆς μίξεως τῶν ἰδεῶν ἐκπρεπῆ παρ' αὐτοῖς, μήτε σχηματισμοὶ τῶν λόγων καταφανεῖς, μήτε τίς ἀπορία φύσεως καὶ ἐπίλυσις, μήτε γραμμικαὶ ἀποδείξεις μετὰ τῶν φορτικῶν ὀνομάτων, μήτε φιλόσοφοι ἔννοιαι ὑψηλολογοῦσαι τὸ ὑποκείμενον. Βούλονται γὰρ οἱ περιττοὶ τὴν σοφίαν πρὸς ἐπίδειξιν πάντα γεγράφθαι, οὐ πρὸς ὠφέλειαν καὶ ἤθους κατόρθωσιν. Ἐγὼ δὲ οὐδενὸς τούτων φημὶ τὰ τοῦ ἀνδρὸς ἀπεστερῆσθαι συγγράμματα. Ἀλλ' ἐπειδὴ μὴ ἐπιδεικτική τις αὐτοῦ ἡ χρῆσις, οὐ πυκνὰ ταῦτα αὐτῷ τίθεται, οὐδὲ ἐκ προοιμίων εὐθύς, οὐδὲ πανταχοῦ, οὐδὲ ἐν πᾶσιν, ἀλλ' ὅπερ αὐτῷ ἀφορμὴν τὸ πρᾶγμα δίδωσιν, ἐπὶ ὅσον δέον τῷ λόγῳ χρησάμενος, ἐπὶ τὸν προτεθειμένον σκοπὸν εὐθὺς ἐπάνεισιν. Ὁ γὰρ λόγος αὐτῷ οὔτε εἰς τεχνολογίαν καὶ κατανόησιν φύσεως, οὔτε μὴν εἰς γραμμικὴν θεωρίαν, ἢ τὴν περιττοτέραν ἐν τοῖς ἀριθμοῖς σύνεσιν. Ἀλλ' οὐδὲ σπουδάζεται τούτῳ ἡ τοῦ οὐρανοῦ κίνησις, ἢ ὅπως ὁ ἀπλανὴς κόσμος πρὸς τοὺς πλάνητας ἐπιστρέφεται. μέλει δὲ αὐτῷ συμφώνων ἢ ὁμοφώνων οὐδέν, ἀλλ' οὐδὲ τῶν ἐπὶ τούτοις ἐμμελειῶν· διὰ τοῦτο ταῦτα μὲν ὡς περιττὰ παραπέμπεται· ἔστιν ὅπου καὶ κατὰ καιρὸν χρώμενος· τῆς δὲ ἀληθείας ἀπανταχοῦ ἔχεται, καὶ τῆς ἀψευδοῦς διηγήσεως. Φράσεως δὲ πολλοὺς μὲν ἐπίσταται τρόπους, κέχρηται δὲ τῷ ἀποχρῶντι, πρός τε τὴν τῶν σπουδαίων, καὶ τὴν τῶν πολλῶν ἅμα ἀκρόασιν. Καὶ ἤρεσέ γε κατὰ ταυτὸ ἀμφοτέροις τοῖς μέρεσι. Τῷ μὲν γὰρ

ῥυθμῷ καὶ τῷ κάλλει τῆς λέξεως, τὸν ἐλλόγιμον ἀκροατὴν ἐφειλκύσατο, καὶ ἔθελξεν ἱκανῶς τοῖς τῶν χαρίτων θελγήτροις, τῷ δέ γε σαφεῖ καὶ πεπίμῳ τὰς ἰδιώτιδας ἀκοὰς τῆς ἑαυτοῦ φωνῆς ἀνηρτήσατο· ἀμφοτέρους τε αὖ ὑπηγάγετο τῷ συντόμῳ καὶ πιθανῷ.

Ἐγὼ γὰρ ἵνα μηδὲν φῶ τῆς ἀληθείας ἔλαττον ὑποκρυψάμενος, χαρακτῆρας μὲν λόγων πολλοὺς οἶδα καλλίονας, λέγω δὲ τῶν τελεωτέρων ῥητόρων, καὶ οἳ μηδὲ πρὸς παράδειγμα τοῖς πολλοῖς ἑστᾶσι, τῷ ὑπερηχοῦντι τοῦ τόνου καὶ τοῦ ῥυθμοῦ, ἀκριβεστέραν δὲ ἰδέαν, οἷς εἵλετο συνθεῖναι συγγράμμασιν, οὐκ οἶδα εἴ τις τῶν πώποτε συνήρμοσεν. Ἀλλὰ καὶ εἴ τις αὖ τῶν περιττῶν ἐκείνων τήν τε φράσιν καὶ τὴν ἐνθύμησιν, προὐβάλετο τὴν τοιαύτην ὑπόθεσιν, περιεργότερον μὲν ἂν ἴσως αὐτῇ τὸν λόγον εἰργάσατο, οὐ φημὶ δὲ σύμπασιν ἀκροαταῖς κατάλληλόν τι καὶ ἁρμοδιώτερον. Τά τε γὰρ προοίμια τῶν λόγων αὐτῷ ἁπτόμενα εὐθὺς τοῦ ὑποκειμένου, καὶ βραχύ τι προϊὼν τὸν τοῦ συγγράμματος ἀναφαίνει σκοπὸν, καὶ τὴν πᾶσαν ἐπ' ἐνίοις τῶν λόγων ὑπόθεσιν κεφαλαιωσάμενος, εὐθὺς κατὰ μέρος τέμνει, πρός τε τὰ πρόσωπα καὶ τοὺς καιροὺς μεθαρμόζεται. Καὶ τὸ μὲν χρῶμα τοῦ λόγου τὸ αὐτὸ πᾶσι, καὶ ἡ ποιότης μία τῆς φράσεως· ἡ δέ γε τῶν ἠθῶν μεταβολὴ ποικίλη, καὶ ὡς ἂν εἴποι τις, τεχνική, οὐ διὰ τὴν τέχνην τὰ πράγματα μεταβάλλουσα, ἀλλὰ τὸ ἑκάστῳ τῶν παρεμπιπτόντων πραγμάτων τε καὶ προσώπων οἰκεῖον ὑφερμηνεύουσα. Ὡς πρὸς ἀρχέτυπα δὲ τὰ ἀρχαιότερα τῶν πραγμάτων ἐνατενίζων, ἐκείνων τε οὐκ ἀφίσταται, ἵνα μὴ δόξειεν ἄλλο τι ποιεῖν, καὶ παρὰ τὸ παρά-

dictionis quidem numero & pulchritudine eruditum sic attraxit auditorẽ, & satis delinit gratiarum illecebris: eò autem quod esset clara & succulenta oratio, effecit, vt aures imperitorum ab eius voce penderent. Ambos rursum induxit breuitate & probabilitate.

Ego enim, vt nihil dicam, celans quod sit vero minus, scio quidem esse multa dicẽdi genera pulchriora; perfectiorum, inquam, Oratorum, & quorũ exemplar non estvulgo propositum ad imitandum, propter excellentẽ sonum & numerum Orationis: præstantiorem autẽ dicendi formam iis scriptis, quæ componere statuerat, nescio an quisquam ex omnibus vnquam adaptauerit. Sed etsi quis ex illis, qui & dictione excellunt & sententia, eiusmodi argumenta suscepisset, accuratiorem quidem & elaboratiorem effecisset Orationem, sed non itidem dico auditoribus congruentem, & conuenientem. Nam & proœmia eius orationum statim attingunt subiectum, & parum procedens ostendit sui scripti scopum; & in nonnullis Orationibus, cum totum argumentum accepisset in summam, id statim in partes diuidit: se autem accommodat personis, & temporibus. Et est quidem omnibus idem color orationis, & vna qualitas dictionis: morum autem varia est mutatio; & vt dixerit quispiã, artificiosa, non propter artem res mutans, sed quod vnicuique rei & personæ incidenti conueniebat, interpretans. Tanquam autem ad archetypa exemplaria ad res antiquiores intuens, nec ab illis recedit, ne videtur aliquid aliud facere, & ad exemplar quoque totam transmutat

dicendi formam, non diuersam faciens materiam; sed quod in dicendi genere peccatum erat, corrigens: neque sententias innouans, sed conuertens figuram dictionis: & ei incidens oratio in diuersitatem narrationum & varietatem argumentorum, non confunditur neque perturbatur; sed tanquam optimus gubernator, cum ei nauis agitaretur fluctibus, stabat quietus clauum tenens artificiosissimè.

Porrò autem in nonnullis quoque Orationibus describit patriam eorum, qui laudantur, ab vniuersa terra separans, & deducens ad vnam partem; deinde loquitur etiam nonnihil de fluminibus, & de eorum principiis disserit naturaliter, deque opportunitate ciuitatum, & de temperatione aëris, & de temporum conuenientia; etiamsi ij, qui sunt reuera auribus paulo surdioribus, ea, quæ dicuntur, non exaudiunt: multifariam quoque tractat partes Orationis, alias quidem maiori contentione, alias verò leniùs & sedatiùs. In gratia autem narrationum, quis ex omnibus cum eo contenderit? Quis in compositione? Quis in numerorum suauitate? Quis in concinnitate in omnibus congruente? Atque volo quidem contendere quod non sit ampla & grandis eius Oratio: inuenio autem, eius orationibus ne hanc quidem deesse gratiam: sed alicubi quidem eas esse amplas & redundantes. in pluribus autem graues & temperatas. Cum has autem duas vias sibi proposuisset, Martyricam constantiam & Monasticam in exercitatione tolerantiam: currit quidem in vtroque stadio non cum pedum pernicitate, sed cum celeritate ora-

δεῖγμα, καὶ τὴν ὅλην ἰδέαν μεταποιεῖ, οὐκ ἐναλλάττων τὴν ὕλην, ἀλλὰ τὸ ἡμαρτημένον τοῦ εἴδους διορθούμενος· οὐδὲ καινοτομῶν τὰς ἐννοίας, ἀλλὰ τὸ τῆς λέξεως σχῆμα μετατιθείς· ἀνωμαλίαις τε περιπίπτων διηγημάτων ὁ λόγος αὐτοῦ, καὶ μεταλλαγαῖς ὑποθέσεων, οὐ συγχεῖται οὐδὲ ταράττεται· ἀλλ' ὥσπερ ἄριστος κυβερνήτης περικλυζομένης αὐτῷ τῆς νεὼς ἀτρέμας εἱστήκει, τοὺς οἴακας τεχνικώτατα χειρούμενος.

Ἔστι δὲ ὅτε τῶν λόγων καὶ γεωγραφεῖ τὰς τῶν ἐπαινουμένων πατρίδας, τῆς συμπάσης ἀποτεμνόμενος γῆς, καὶ ἀνάγων εἰς ἓν τῶν τμημάτων. Εἶτα δὲ καὶ περὶ ποταμῶν τι ἐξήγηται, καὶ φυσιολογεῖ αὐτῶν τὰς ἀρχὰς, καὶ περὶ εὐκαιρίας πόλεων, καὶ κράσεως ἀέρων, καὶ ὡρῶν ἁρμονίας, εἰ καὶ οἱ τὴν ἀκοὴν τῷ ὄντι δυσήκοοι, τούτων λεγομένων οὐκ ἐπαΐουσιν. Ἅπτεται δὲ καὶ πολυειδῶς τῶν τοῦ λόγου μερῶν, τὰ μὲν ἀγωνιστικώτερον, τὰ δὲ πρᾳότερον. Τῆς δὲ τῶν διηγήσεων χάριτος τίς ἂν αὐτῷ τῶν πάντων ἀμφισβητήσειεν; τῆς δὲ συνθήκης, τῆς δὲ τῶν ῥυθμῶν εὐαπαιστίας; τῆς δὲ πρὸς πάντα καταλλήλου εὐαρμοστίας; Βούλομαι μὲν οὖν, ὅτι μὴ στωμύλος, ὑπὲρ ἐκείνου διαγωνίσασθαι. Εὑρίσκω δὲ τοὺς λόγους αὐτοῦ μηδὲ ταύτης τῆς χάριτος ἀπολείποντας, ἀλλ' ὅπου μὲν καὶ τὸ περιττὸν ἔχοντας, ἐν δέ γε τοῖς πλείοσι τὸ κόσμιον. Δύο δὲ ταύτας ὁδοὺς αὐτῷ θέμενος, μαρτυρικὴν ἔνστασιν, καὶ ἀσκητικὴν καρτερίαν, τρέχει μὲν ἐπ' ἀμφοῖν τοῖν σταδίοιν, οὐ ποδῶν ὠκύτητι, ἀλλὰ λογισμῶν ὀξύτητι· μάλιστα δὲ τὸν ἀσκητικὸν διαθέων δίαυ-

λον, εὐτονώτερος αὐτοῦ καὶ ἀγωνιστικώτερος γίνεται. Πιαίνει γοῦν μοι τὴν ἀκοὴν, ὁπηνίκα ὁ λόγος αὐτοῦ ἄνεισι μὲν ὄρη, ὕπεισι δὲ σπήλαια· ὑπό τι πίτυν ἢ δρῦν τινα καθίζει τὸν ἀσκητὴν, καὶ σχεδιάζει αὐτῷ τροφὴν τὴν ἐκ βοτανῶν, καὶ πόμα τὸ ἐκ πηγῶν. Περιανθίζει γὰρ τὰς τοιαύτας διηγήσεις λέξεσί τισι τὸ καλὸν ἀνθούσαις, καὶ σχημάτων ποικίλλει ῥοδωνιαῖς, καὶ ὡς ὁρώμενα δείκνυσι τὰ τότε καιροῦ πεπραγμένα. Ζηλῶ μὲν οὖν ἐγὼ τὸν ἄνδρα καὶ τῆς τοιαύτης εὐστομίας καὶ χάριτος, οὐδέν τι ἧττον τῆς εὐχρηστίας τῶν ὑποθέσεων. Εἰ γὰρ κἀμοὶ πολλὰ καὶ περὶ πολλῶν συγγέγραπται, ἀλλ᾽ οὐκ ἂν ἔχοι τοσοῦτον ζῆλον καὶ μίμησιν τὰ σπουδάσματα· ἀλλὰ λογίοις μὲν ἴσως ἀνδράσι φανήσεται περισπούδαστα, καὶ ζηλώσουσι ταῦτα διὰ τὴν λέξιν, καὶ τὸν ποικίλον σχηματισμόν· καταφρονήσουσι δὲ οἱ πολλοὶ, ὅτι μὴ μέλον αὐτοῖς ζητημάτων καὶ ἐννοιῶν ἀπορρητοτέρων.

Φασὶ γέ τοι μηδὲ ἐκ παρέργου τοῦτον ἅψασθαι τοῦ πράγματος, μηδὲ αὐτὸν προθέμενον, εἰ μὴ ὅσον βούλεσθαι· Βασιλέως δὲ τοῦτον παρακλήσεις ἐπὶ τοῦτο προτρέψαι, καὶ οἷς ἐφροντίζετο λόγος καὶ σύνεσις. Καὶ ἦν αὐτῷ ἡ παρασκευὴ ἐξ ἑτοίμου, κύκλος τε οὐ βραχὺς, τῶν τε πρώτως ἐνσημαινομένων τὴν λέξιν, καὶ τῶν μετὰ ταῦτα τιθέντων, καὶ ἄλλος ἐπ᾽ ἄλλῳ, ὁ μὲν τὰ πρῶτα ποιῶν, ὁ δὲ τὰ δεύτερα. Καὶ ἐπὶ τούτοις, οἱ τὰ συγγεγραμμένα ἐξακριβούμενοι, ἵν᾽ ὅ,τι τοὺς ὑπογραφέας λάθοι, πρὸς τὴν ὑποκειμένην

tionis, maximè autem monaſticum percurrens curriculum, euadit ſe ipſo robuſtior & fortior: Aures quidem certè pinguefacit, quando eius Oratio aſcendit quidem montes; ſubit autem ſpeluncas: ſub pinu autem, aut quercu aliqua collocat Exercitatorem: & vile alimentum & illaboratum ei offert ex herbis, & potum ex fontibus. Eiuſmodi narrationes ornat quibuſdam florentibus pulchrè dictionibus, & variis roſis figurarum, & ea, quæ tunc fiebant, quaſi ſubiicit oculis. Virum ego laudo quidem propter eiuſmodi facundiam & gratiam: non minus autem, quod pulchrè tractauit argumenta; nam etſi à me multa quoque de multis ſcribuntur, non habent eorum opera talem zelum & imitationem: ſed viris quidem fortaſſe doctis videbuntur digna, in quæ ſtudium conferatur, & ea æmulabuntur propter dictiones, & varias figuras: vulgus autem contemnet, quod non ſint ei curæ quæſtiones, & ſententiæ nimis arcanæ.

Porrò autem dicunt eum non leuiter agentem, hanc rem eſſe aggreſſum, neque ipſum id ſibi propoſuiſſe, vt faceret quantum vellet; ſed Imperatoris adhortationes eum ad hoc adduxerunt, & ij quibus curæ erat doctrina & intelligentia; & promptus ei fuit apparatus, & non paruus orbis eorum, qui primò dictionem notis excipiebant, & eorum qui poſtea tranſcribebant: & alius poſt alium quidem prima faciebat. Hic verò ſecundò ſcribebat, & poſt hos alij, qui, quæ ſcripta fuerant pulchrè intellige-

bant, vt quod scriptores latuerat, ad propositam corrigerent sententiam: nam propter scriptorum multitudienm non licebat ei sæpe eadem reuoluere, & intueri. Sed etsi fuerit multus labor, & maior quàm par esset solicitudo, immò verò digna quæ in hoc adhiberetur: sementem tamen longè vicit spica, & seges qualis nondum fuit vsque in hodiernum diem. Quocirca etiamsi nihil aliud Viro illi fuisset elaboratum, & non alia omnia, quæ vel singula sufficiunt ad laudem merendam, opus tamen tale suscepisse, & id tam præclarè executum esse, Viro pro quouis ad laudē suffecerit.

Atque ego quidem nolo conferre eius opera cum scriptis externorum Sapientum. Quid enim si ex his alij quidem composuerunt Panathenaica, alij autem prælium Peloponnesiorum & Atheniensium magnifica dictione composuerunt: & alij quidem contra Rhetores decertarunt, & alij pro Rhetoribus, in quibus est quidem insignis & manifestus redundans verborum ornatus: est autem breuis & imbecilla vtilitas. Cum his ergo nollem ego meum conferre Athletam; sed si quis mihi hoc dederit, ego eum exæquauerim iis, qui in Euangelio laborarunt, & profundum Verbi sunt interpretati. Quorum enim sunt fines æquales, eorum sunt etiam principia similia: Et si salus animarum apud vtrosque est finis argumentorum, quidni etiam fuerint causæ inter se pares, & steterint scriptores in eadem trutina, aut, vt dicam, quod nostrum est, fuerint etiam ex æquo hæredes? Quam multis autem fortis viri coro-

διορθώσωνται ἔννοιαν. οὐ γὰρ ἐξῆν αὐτῷ διὰ τὸ πλῆθος τῶν συγγραμμάτων πολλάκις τὰ αὐτὰ ἀνακυκλεῖν τε καὶ ἐφορᾶν. Ἀλλ' εἰ καὶ πολὺς ὁ ζῆλος, καὶ ἡ φροντὶς περιττοτέρα τοῦ δέοντος, ἢ μᾶλλον πρὸς τοῦτο δὴ ἀξιόχρεως, ἀλλ' ὅγε στάχυς ἐνενίκηκε μακρῷ τὴν σποράν· καὶ τὸ λήϊον οἷον οὐδέπω καὶ τήμερον. Ὡς τε εἰ καὶ μηδὲν ἄλλο τῷ ἀνδρὶ διεσπούδαστο, μὴ δ' ἀποχρῶντα τὰ ἄλλα σύμπαντα, καὶ καθ' ἕκαστον πρὸς ἀφορμὴν εὐφημίας ἀρκοῦν, ἀλλὰ τόγε τοιοῦτον ἑλέσθαι σπούδασμα, καὶ ὅπως ἐκπεπεράνθαι τε καὶ ἀκριβώσασθαι, αὐτάρκες αὐτὸ παντὸς ἄλλου πρὸς ἐγκώμιον τῷ ἀνδρί.

Ἔγωγ' οὖν πρὸς μὲν τὰ τῶν θύραθεν σοφῶν συγγράμματα οὐδ' ἀξιῶ συγκρῖναι τὰ σπουδάσματα τοῦ ἀνδρός. Τί γὰρ εἰ οἱ μὲν τούτων τὰ Παναθηναϊκὰ συνέθεντο, οἱ δὲ τὴν τῶν Πελοποννησίων καὶ Ἀθηναίων μάχην μετὰ τῆς σοβαρᾶς λέξεως συνεγράψαντο· καὶ οἱ μὲν κατὰ τῶν ῥητόρων, οἱ δὲ ὑπὲρ τῶν ῥητόρων ἀντηγωνίσαντο, ἐν οἷς τὸ μὲν περιττὸν εὔδηλον καὶ διαπρεπὲς, τὸ δ' ὠφέλιμον βραχύ τι καὶ ἀσθενές. Οὐ πρὸς τούτοις οὖν ἐγὼ τὸν ἐμὸν ἀνταγωνιστὴν ἑλοίμην ποτ' ἂν παραβάλλειν. Ἀλλ' εἴ μοί τις δοίη, ἐν ἴσῳ ἂν τοῦτον θείην τοῖς περὶ τὸν τοῦ Εὐαγγελίου λόγον πονήσασι, καὶ τὸ τοῦ λόγου βάθος ἑρμηνεύσασιν· ὧν γὰρ ἴσα τὰ τέλη, τούτων καὶ αἱ ἀρχαὶ παραπλήσιαι· καὶ ἂν ἡ σωτηρία ψυχῶν παρ' ἀμφοῖν τὸ τέλος τῶν ὑποθέσεων, πῶς οὐχὶ καὶ τὰ αἴτια ἐν ἴσῳ καθεστήκασιν ἀλλήλοις, καὶ οἱ συγγραφεῖς ἐπὶ τοῦ αὐτοῦ εἶεν σταθμοῦ, ἢ ἵνα τὸ ἡμέτερον εἴπω, τῶν ἴσων κληρονομήσουσι. Πόσοις δὲ ἂν στεφα-

νωθείη ἀριστείας στεφάνοις ὁ θαυμαστὸς οὗτος ἀνήρ; μᾶλλον δὲ πόσοις οὐκ αὖ ἤδη κατέστεπται ἀναδραμὼν πρὸς Θεὸν, καὶ παρ' ἐκείνοις χορεύων, ὧν ἐνταῦθα τὰ ἤθη καὶ τοὺς βίους συνέγραψεν. Ἐπέδειξε γὰρ κἂν τῷ τέλει, ὁποῖος αὐτῷ ὁ διεσπουδασμένος βίος ἐτύγχανεν ὤν. οὐ γὰρ ὥσπερ τέμνεσθαι αὐτὸν οἱ συνεωρακότες φασὶν, οὐδὲ διαιρεῖσθαι, ἀλλ' ἐῴκει ὥσπερ τινὸς δέσμης ἀπολυόμενος, καὶ ἱλαρῷ πρὸς τοὺς ἄγοντας Ἀγγέλους ἀνατεινόμενος νεύματι, καὶ πῶς ἐπιδιδοὺς ἑαυτὸν τῶν ἐκείνων χεροῖν, ἵνα ταχὺ ἀνασταίη τοῦ σώματος.

Καὶ ἐτεθνήκει μὲν οὕτως· εὐωδίας δὲ αὐτίκα πάντα ἐγεγόνει μεστὰ, καὶ οὐκ εὐθὺς μόνον, οὐδὲ ἐς τρίτην ἡμέραν, ἀλλὰ καὶ εἰς πολλοστὴν ἀπ' ἐκείνης, ἕως δὴ μόνος τῷ τάφῳ ἐπιτεθησαύριστο. Καὶ τὴν αὖ μέχρι παντὸς ἀρωματίζουσαν ἡ σορὸς, εἰ μή τινες τοσοῦτον παρηνομήκασιν, ὥστε καὶ ἕτερον παρ' αὐτῷ κατατεθεῖναι σωμάτιον. ὁμοῦ τε γὰρ κἀκεῖνο συμπέπτωκε τῷ μεγάλῳ ἀνδρὶ, καὶ ἡ τῆς εὐωδίας ἔστη πηγή. Τοῦτο μὲν δή σοι τὸ θαῦμα κάλλιστέ μοι πάντων ἀνδρῶν καὶ ἐλλογιμώτατε, εἰς τελειοτάτην ἐστὶν ἀπόδειξιν τῆς σῆς καθαρότητος καὶ ἁγιότητος· ἐπεὶ καὶ τὰ ἄλλα ἀποχρῶντά σοι πρὸς τὴν τῆς ἀρετῆς ἀκριβεστάτην τελείωσιν. Σὺ δέ μοι ἵλεως εἴης, εἰ μή σοι σύμπασαν διηκριβωσάμην ἀρετὴν, μηδὲ τὴν ἐκ πάντων τῶν σῶν καλῶν συνεμέτρησά σοι εὐφημίαν, καὶ μή μοι οἷς ἐλλέλοιπα, δι' ὀργῆς ἔχοις, ἀλλ' οἷς συγγέγραφα, διὰ μνήμης ἄγοις, εἴπερ ἐστὶ μνήμη τῶν ἐνταῦθα ταῖς καθαρωτέραις ὑμῶν καὶ θεοειδέσι ψυχαῖς.

nis non fuerit coronandus hic Vir admirabilis? immò verò quibus non eſt iam coronatus, cum ad Deum aſcenderit, & apud illos ducat choros, quorum mores ac vitam conſcripſit? Nam vel in fine oſtendit, qualem vitam egerat. Non enim eum veluti abſciſſum, aut diuiſum fuiſſe dicunt ij, qui viderunt: ſed videbatur veluti à quodam vinculo liberari, & hilari vultu ſe extendere ad ducentes Angelos, quo modo ſe ipſum traderet illorum manibus, vt citò emigraret è corpore.

Et ſic quidem eſt mortuus: fuerunt autem ſtatim omnia, ſuaui odore plena; & non tunc ſolum, nec in diem tertiam, ſed etiam in multos dies poſtea, donec fuit ſolus conditus in ſepulchro; & loculus perpetuò talem emiſiſſet odorem, niſi ſe aliqui tam inique geſſiſſent, vt aliud corpuſculum propter eum deponerent. Simul atque enim hoc magno illi Viro accidit, deſiit fons ille ſuauis odoris. Atque hoc quidem miraculum, ô virorum omnium optime & eruditiſſime, ſatis ſuperque oſtendit puritatem tuam, & ſanctitatem: nam alia quoque tibi ſufficiunt ad accuratiſſimam virtutis conſummationem. Tu autem ſis mihi propitius, ſi non perfectè expoſui omnem tuam virtutem, neque ex omnibus tuis bonis tibi purè attuli laudationem, nec mihi iraſcaris propter ea, quæ ſunt à me prætermiſſa, ſed eorum quæ ſcripſi memineris, ſi eorum, qui hîc ſunt, eſt vlla memoria veſtris puriſſimis & diuiniſſimis animis; in Chriſto Ieſu Domino noſtro, cum quo Patri cum ſancto Spiritu gloria, honor & potentia, nunc & ſemper, & in ſæcula ſæculorum, Amen.



ΜΗΝΙ ΝΟΕΜΒΡΙῼ κη΄.

ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΥΜΕΩΝ ΛΟΓΟΘΕΤΟΥ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ.

Ἀκολουθία συντεθεῖσα ὑπὸ τοῦ Ψελλοῦ.

Στιχηρὰ εἰς τό, Κύριε ἐκέκραξα. ἦχος πλαγίου δευτέρου.

πρὸς τό, Ὅλην ἀποθέμενοι.

MENSIS NOVEMBRIS DIE XXVIII.

COMMEMORATIO SANCTI PATRIS NOSTRI SYMEONIS LOGOTHETÆ METAPHRASTÆ.

Officium à Psello compositum.

Interprete LEONE ALLATIO.

Id est, Ad Vesperas. Troparia in Psalmum, *Domine clamaui.* Echus obliquus secundus.

Vt illud, Ὅλην ἀποθέμενοι.

MVnus tuum splendidissimum, & conspicuam celsitudinem, magnificentiora tuis præstantissimis gestis effecisti, & qui parentem Reginam Vrbem, in hoc quoque omnium vrbium dominatricem & victricem ostendisti, quæ tempestiuè te veluti florem, & vita & oratione, & virtutibus

Γέρας τὸ λαμπρότατον, σοῦ καὶ περίβλεπτον ὕψος μεγαλοπρεπέστερον, τῶν μεγαλουργίαις σοῦ ἀπετέλεσας, καὶ τὴν ἐκθρέψασάν σε Βασιλίδα πόλιν καὶ ἐν τούτῳ βασιλεύουσαν, πασῶν τῶν πόλεων καὶ ὑπερέχουσαν μᾶλλον ἀπέδειξας, καθ' ὥραν ἐξανθήσασάν σε τὸν ἀνθηδὸς περιώνυμον,

ἐπώνυμον, βίῳ τε καὶ λόγῳ, καὶ πάσαις τῶν καλλίσταις ἀρετῶν, τὸ θαυμαστὸν ταύτης γέννημα, καὶ λαμπρὸν στεφάνωμα.

tutibus omnibus præstantissimis verè celeberrimum edidit fœtum sui admirabilem, & emicantem coronam.

Ὢ τῶν θαυμασίων σου, θαυμασιώτατε Πάτερ, οἷς σε ἐθαυμάστωσεν, ὁ ποιῶν θαυμάσια, μόνος Κύριος. Ὡς γὰρ ζῶν ἄψαυστον σαρκικῶν μίξεων διετήρεις τὸ σαρκίον σου, οὕτως ἐφύλαξας τάφῳ τυμβευθὲν ἀσυμπίλαστον, τὸ σῶμά σου τὸ ἅγιον, τῆς ἐπιμιξίας τοῦ ὕστερον, τούτῳ συντεθέντος ἑτέρου σώματος, ὃν ἀπρεπῶς καὶ μαρτυρεῖ, τοῦ ἐκβλύζοντος μύρου σου ἡ ἔκλειψις.

O res gestas tuas admirandas, maximè Pater admirande, quibus te admirabilem effecit, qui solus mirabilia facit, Dominus. Quemadmodū enim, cum viueres, lenociniis carnis tuum paruum corpusculum intactum conseruabas, ita & in sepulchro tumulatum corpus tuum sanctum insociabile conseruasti, & inconfusum ab admixtione alterius corporis, postmodum ibidem vna cum tuo collocati; quod & indecore appositum fuisse indicat, quod indè effluebat vnguenti defectus.

Σοῦ τοῖς θείοις χείλεσιν χάρις πολλὴ ἐξεχύθη, καὶ σοφίας ἔμψυχον τῆς ἀκτίστου γέγονας οἰκητήριον. ὡς πυρὸς γλώσσῃ διαστομωθεὶς, ὅσιε, ἐν τοῖς λόγοις ἐλάμπρυνας τῶν Ἀποστόλων τε καὶ τῶν ἀθλοφόρων τὰ σκάμματα, καὶ βίον τὸν ἰσάγγελον Ἀσκητῶν ἑκάστου διέγραψας, καὶ νῦν συνοικήτωρ γενόμενος αὐτοῖς, ἐν οὐρανῷ Τριάδος φῶς τὸ ἀνέσπερον βλέπεις ἀγαλλόμενος.

E tuis diuinis labiis gratia luculenta effusa est, & Sapientiæ increatæ animatum habitaculum effectus es, veluti ignis lingua diductus, Beate, sermonibus tuis admodum illustrasti Apostolorum, & præmia reportantium certamina, & vitam Angelis parem Ascetarum descripsisti: & nunc vnà cum illis habitans, in cœlo Triadis lumen inextinctum non sine gaudio conspicis.

Δόξα. Ἰδιόμελον. ἦχος πλαγίου δευτέρου.

Gloria. Idiomelon. Echus, obliquus secundus.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου. Διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων· τῶν δαιμόνων ἔλυσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας, παρρησίαν ἔχων ἐν τῇ μνήμῃ σου, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Venerande Pater, in omnem terram exiuit sonus tuorum facinorum. Propterea in cœlo laborum mercedem adeptus, Dæmonum dissoluisti phalanges, Angelorum cohortes consecutus es, eorumque viuendi rationem inculpatè æmulatus; cum possideas libertatem efflagitandi, in tui commemoratione pacem impetra animabus nostris.

Apolyticium. Echus obliquus quartus.

Rectæ ac integræ doctrinæ Dux, pietatis magister & honestatis, orbis lumen, Scriptorum à Deo inspiratorum ornatus, Spiritus lyra, tuis doctrinis omnes illuminans, Symeon Pater noster, precare Christum Deum, vt animæ nostræ salutem consequantur.

Canon, Compositio eiusdem Pselli, hac notatus Acrostichide.

Cano te, qui concinnasti Metaphrases.

Ode 1. Obliquus secundus. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Melos mihi concinnum exhibe Verbum Dei, cum celebrare inceperim seruum tuum Symeonem Metaphrastem, propriéque Logothetam admirabilem.

Ex diuinis altitudinibus ad te quoque sanctissimus Spiritus descendit, ô Sapiens! & purum cor reperit, & corporeè verè inhabitauit.

Lucerna lex Domini pedibus tuis à pueritia effecta est, qui in ea piè meditabaris die & nocte, diei tanquam filius, & lumen viis tuis.

Vellus te antiquitus præuidit Gedeon, ad quod, Deus veluti pluuia descendit, & terram suam repleuit, Virgo & Mater, agnitione non contaminata.

Ode 3. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Tanquam Spiritu plenus, perfe-

Ἀπολυτ. ἦχος πλαγίου τετάρτου.

Ὀρθοδοξίας ὁδηγὲ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, τῶν λογογράφων θεόπνευστον ἐγκαλλώπισμα, λύρα τοῦ Πνεύματος, ταῖς διδαχαῖς σου πάντας φωτίσας, Συμεὼν πατὴρ ἡμῶν, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ Κανὼν, ποίημα τοῦ αὐτοῦ Ψελλοῦ, φέρων Ἀκροστιχίδα τήνδε,

Μέλπω σε τὸν γράψαντα τὰς Μεταφράσεις.

Ὠδὴ α΄. πλαγίου δευτέρου. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Μέλος μοι εὔρυθμον δίδου, Λόγε Θεοῦ, εὐφημεῖν ὁρμήσαντι, τὸν Συμεῶνα τὸν Μεταφραστὴν, τὸν κυρίως Λογοθέτην ἀξιάγαστον.

Ἐξ ὑψωμάτων τῶν θείων, καὶ ἐπὶ σὲ Πνεῦμα τὸ πανάγιον κατελήλυθε, σοφὲ, καὶ καρδίαν εὗρε καθαρὰν, καὶ ἔνσωμον ἀληθῶς ἀνεπαύσατο.

Λύχνος ὁ νόμος Κυρίου, σου τοῖς ποσὶν ἀπὸ βρέφους γέγονε, μελετήσας ἐν αὐτῷ εὐσεβῶς, ἡμέρας καὶ νυκτὸς, τῆς ἡμέρας ὡς υἱὸς, καὶ φῶς ταῖς τρίβοις σου.

Πόκον σε πάλαι προεῖδεν ὁ Γεδεὼν, ἐφ᾽ ὃν καταβέβηκεν ὁ Θεὸς, ὡς ὑετὸς, καὶ τὴν γῆν πεπλήρωκεν αὐτοῦ, Μητροπάρθενε, ἁγνὴ τῆς ἐπιγνώσεως.

Ὠδὴ τρίτη. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Ὡς πλήρης Πνεύματος, πλη-

φυλακτὴς ἀνεδείχθης, τῶν αὐτοῦ προσταγμάτων· τὸ γὰρ παρὰ τοῦ Χριστοῦ ἐμπιστευθέν σοι, καλῶς ἐξειργάσω τάλαντον, Μακάριε.

Σοφίας θείας ἐραστὴς, ἀπαλῶν ἐξ ὀνύχων γεγονὼς, θεορρῆμον, περιεπλάκης αὐτῇ, καὶ τῷ χαρίτων αὐτῆς τῷ στεφάνῳ, Μάκαρ, ἐστεφάνωσαι.

Ἐνδιαπρέψας ἐν ἀρχαῖς τῆς κάτω συγκλήτου, ὡς ἀνὴρ βουληφόρος, τὸ πολίτευμα τὸ σὸν ἐκτήσω ἐν οὐρανοῖς, καὶ τὴν ἄνω σύγκλητον ἐκόσμησας.

Τὸν ὑπὲρ φύσιν τοκετὸν, τῆς παναγνου Παρθένου, ὁ σοφὸς Λογοθέτης, ἀκατάληπτον εἰδὼς, Ἀγγέλοις τε καὶ βροτοῖς ἐκδιδάσκει, πίστει μόνῃ σέβεσθαι.

Ὠδὴ ή. Χριστός μου δύναμις.

Ὁ πάντων Κύριος, καὶ πάντων αἴτιος τῶν καλῶν, ἐξ ἁπάντων σε τὸν σοφὸν, Μάκαρ, ἐξελέξατο, τῶν θεραπόντων τῶν αὐτοῦ, ἐπαινέτην ἀξιάγαστον.

Νοὸς ὀξύτητι καὶ καθαρότητι, καὶ λαμπρότητι βίου, τὸ νοερόν σε φῶς κατεκόσμησε, καὶ τῇ τῶν λόγων καλλοναῖς, ὁ Θεός σε ἐχαρίτωσεν.

Γραφαῖς ἐσχόλαζες ταῖς θείαις, ὅσιε, καὶ ἁγίων τοὺς βίους ἰχνηλατῶν, τούτων τὰ παθήματα καὶ τοὺς ἀγῶνας ἐξύμνεις, ταῖς σοφαῖς σου Μεταφράσεσιν.

Ῥητόρων στόματα, σαλπίγγων ᾄδοντα εὐηχέστερα μέλη, ἀνευφημεῖν ἐπαξίως ἄχραντε, ἀδυνατοῦσί σε τοῦ Θεοῦ ὄρος τὸ κατάσκιον.

Ὠδὴ έ. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ἀνατολῆς ἥλιε Χριστὲ τῆς δι-

ctor factus es illius mandatorum. Namque à Christo tibi talentum concreditum, probè absoluisti, Beate.

Sapientiæ diuinæ amator à teneris vnguiculis factus, diuiniloque, eam amplexatus es, & gratiarum ipsius corona, ô Beate, exornatus es.

Cum terreni Senatus dignitatibus condecoratus fuisses, veluti vir Consiliarius, vitæ ducendæ rationem in cœlo acquisieras, & supernum Senatum decorasti.

Partum super naturam immaculatissimæ Virginis cum comprehendi non posse sciret sapiens Logotheta, Angelos & homines instruit, vt fide sola venerentur.

Ode 4. Χριστός μου δύναμις.

Omnium Dominus, & omnium causa bonorum, ex omnibus te sapientem, Beate, elegit seruis suis laudatorem admirabilem.

Mentis acumine & puritate, & vitæ claritate, intellectuale te Lumen exornauit, & sermonum venustatibus Deus condecorauit.

Scriptionibus diuinis operam dabas Sancte, & Sanctorum Vitas inuestigans & perscrutans, horum tormenta & certamina extollebas doctis tuis Metaphrasibus.

Oratorum ora tubis suauiora mela canentia dignè collaudare, immaculata te Dei montem inumbratum, nequeunt.

Ode 5. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Orientis Sol Christe iustitiæ, ani-

marum illuminatio collaudantium te, tui Metaphrastæ precibus, caliginem animæ dissolue veluti misericors.

Animæ proficuos, jucundos & salutares fidelibus sermones, diuina mente prædite, concinnasti, ad fortitudinem incitamentum, & virtutis æmulationem, eorum qui probè vixerunt Commentaria.

* * *

Templum & Thronus & Arca omnium Regis & Dei, tu es, laudatissima Domina, sola Deipara, nostri Propitiatorium, qui sub tuam vmbram confugimus.

Ode 6. Τοῦ βίου τὴν θάλασσαν.

Prima tua commentatio ex diuina prouidentia & colloquio facta est sacri senis & Anachoretæ, Symeon admirabilis, quem in Paro insula conspexisti.

Pro dignitate laudasti Lesbiæ illustria & diuina certamina, verè Theoctistæ, à Deo fabricatæ, quæ Angelicam, & tantum non incorpoream, absoluit sapienter vitæ rationem.

Abscondita Domine & occulta seruo tuo reuelasti tuæ sapientiæ, miserationum abyssum ostendens tuas misericordias, & glorificans te glorificantes.

Eripe me Domine ex profunditate malorum precibus tuæ Genitricis, & sancti, Domine, Symeonis, qui te & vita & sermone coluit, multum misericors.

Contacium. Echus secundus. Τὰ ἄνω ζητῶν.

Inculpatè in terra, ô Sapiens!

χαρμοσύνης, τῶν ψυχῶν ὁ φωτισμὸς τῶν ὑμνούντων σε, τοῦ Μεταφραστοῦ σου ταῖς παρακλήσεσι, τὸν ζόφον τῆς ψυχῆς μου λῦσον, ὡς εὔσπλαγχνος.

Ψυχωφελεῖς καὶ συνετοὺς αὐτοῖς πιστοῖς λόγοις, θεόφρον, συντέθεικας, ζῆλον πρὸς ἀνδρείαν ἀρετῆς μίμησιν, τῶν εὖ βεβιωκότων τὰ ὑπομνήματα.

* * *

Ναὸς καὶ θρόνος καὶ κιβωτὸς τοῦ παμβασιλέως καὶ Θεοῦ, σὺ εἶ πανύμνητε δέσποινα, μόνη θεοτόκε, τὸ ἱλαστήριον ἡμῶν, τῶν προσφευγόντων ὑπὸ τὴν σκέπην σου.

Ὠδὴ ϛ'. Τοῦ βίου τὴν θάλασσαν.

Τὸ πρῶτον σου σύγγραμμα, ἐκ προνοίας θείκῆς, ἐξ ὁμιλίας γέγονε τοῦ ἱεροῦ πρεσβύτου καὶ μοναστοῦ, Συμεὼν θαυμασίου, ὃν ἐν Πάρῳ τῇ νήσῳ τεθεώρηκας.

Ἀξίως ἐξύμνησας τῆς Λεσβίας τὰ λαμπρὰ καὶ θεῖα ἀγωνίσματα, Θεοκτίστης τῆς ὄντως ἀγγελικὸν, μικροῦ καὶ ἀσώματον, τελέσασης πανσόφως τὸ πολίτευμα.

Τὰ ἄδηλα Κύριε, καὶ τὰ κρύφια τῷ σῷ θεράποντι ἐδήλωσας, τῆς σῆς σοφίας ἄβυσσον οἰκτιρμῶν, δεικνὺς τὰ ἐλέη σου, καὶ δοξάζων τοὺς πίστει σε δοξάζοντας.

Ἀνάγαγέ με Κύριε ἐκ βυθοῦ με τῶν κακῶν, πρεσβείαις τῆς τεκούσης σε, καὶ τοῦ ὁσίου Δέσποτα Συμεὼν, τοῦ σὲ θεραπεύσαντος, διὰ βίου καὶ λόγου, πολυέλεε.

Κοντάκιον. ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἀμέμπτως ἐν γῇ σοφὲ πολι-

πιστὰ μένος, τῶν ἐν οὐρανοῖς Ἁγίων τὰς λαμπρότητας κατιδεῖν ἠξίωσαι, καὶ πανσόφως τούτους ἐξύμνησας· σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

vita exacta, Sanctorum qui in cœlo sunt, splendores intueri dignus factus es, & doctissimè eos laudasti: cum ipsis indesinenter precare Christum Deum pro omnibus nobis.

Ὁ οἶκος.

Oecus.

Μελῳδικαῖς πιστοὶ συνελθόντες, εὐφημήσωμεν πάντες ἐπαξίαις ᾠδαῖς, τὸν μέγαν Θεοῦ θεράποντα Συμεῶνα, τὸν ἅγιον Λογοθέτην, ὃν ἡ Χριστοῦ Ἐκκλησία φωστῆρα πεπλούτηκεν ἐπὶ γῆς, τοῖς διδασκάλοις πατράσιν ἐκλάμψαντα. Σὺν τούτοις γὰρ ψάλλων ἀπαύστως Χριστῷ, φωτός τε ἀϊδίου πληρούμενος, συγχαίρει πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Cum canticis vnà fideles simul conuenientes, omnes collaudemus dignis præconiis magnum Dei seruum Symeonem, sanctum Logothetam, quem Christi Ecclesia sibi luminare possedit in terra, cum Patribus Doctoribus emicantem: cum his enim indesinenter canens Christo, & lumine sempiterno repletus gaudet, preces pro nobis omnibus effundens.

Ὠδὴ ζ. Δροσοβόλον μὲν τὴν κάμινον.

Ode 7. Δροσοβόλον μὲν τὴν κάμινον.

Στηλιτεύονται καὶ δαίμονες καὶ τύραννοι μάρτυρας καὶ ὁσίους Χριστοῦ οἱ κολάσαντες, ταῖς σοφαῖς σου μάκαρ συγγραφαῖς· πιστῶν μελῳδεῖ δὲ τὸ πλῆθος, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Dedecore notantur & Dæmones & Tyranni, qui Martyres & Sanctos Christi tormentis affecerunt, doctis tuis, ô Beate, commentariis. Fidelium autem multitudo concinit, Benedictus Deus Patrum nostrorum.

Μεταφράσεις ὠνομάσθησαν οἱ λόγοι σου, τρισμάκαρ, καθηδύνοντες νοῦν ἡμέτερον ὑπὲρ μέλι, καὶ γλυκασμὸν τοῖς χείλεσι στάζοντες, βοᾶν, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Metaphrases nuncupati sunt tui sermones, ter Beate, nostram mentem oblectantes supra mel, & dulcedinem labiis stillantes, vt clamemus, Benedictus es Deus Patrum nostrorum.

Ἐπαινέσει γενεὰ κατὰ τὸν ψάλλοντα, καὶ γενεὰ τοὺς λόγους τοὺς σοὺς, ὡς ἐξᾴδοντας τὰ θαυμάσια τὰ τοῦ Θεοῦ, καὶ μέλπειν προτρέποντα ἡμᾶς, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Laudabit generatio, vt canit ille, & generatio sermones tuos, tanquam qui mirabilia Dei collaudant, canereque nos excitant, Benedictus es Deus Patrum nostrorum.

Τὴν καλὴν ἐν γυναιξί σε καὶ πανάμωμον μητέρα τοῦ Θεοῦ, οἱ πιστοὶ ἱκετεύομεν, ἐνεστώσης ῥῦσαι ἡμᾶς κακίας, τοῦ ψάλλειν

Perpulchram inter mulieres te, & immaculatissimam Dei Matrem Fideles exoramus: Ab imminenti infortunio libera, vt suauiter canamus,

Benedicta es, quæ Deum in carne peperisti.

ἀμιγῶς, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ode 8. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Omnium cui contigit vrbium dominari, te diuinum fructum Ciuitas extulit, Beate, qui eandem mysticè alis, & propinas nectar ambrosiæ in salutem animarum.

Ἁπασῶν ἡ λαχοῦσα ἄρχειν τῶν πόλεων, σὲ προσενήνοχε θεῖον καρπὸν, μάκαρ, τρέφοντα αὐτὴν μυστικῶς, καὶ ποτίζοντα νέκταρ ἀμβροσίας, ψυχῶν εἰς σωτηρίαν.

Continentiæ, & vitæ castæ plantatorem, pietatis & diuinæ fidei agricolam, cognitionis abyssum, & contritionis fontem omnes te veneramur, Symeon Logotheta.

Φυτουργὸν ἐγκρατείας καὶ βίου σώφρονος, γεωργὸν εὐσεβείας καὶ θείας πίστεως, γνώσεως βυθὸν καὶ πηγὴν κατανύξεως, πάντες σὲ τιμῶμεν, Συμεὼν Λογοθέτα.

Oratorum more diuina exponens, cœtum venerandæ Ecclesiæ demulces, diuine Beate, excitasque ad virtutis imitationem eorum, qui in pietate bonum exitum habuere.

Ῥητορεύων τὰ θεῖα, θέλγεις τὸ πλήρωμα τῆς σεπτῆς Ἐκκλησίας, θεομακάριστε, καὶ διανιστᾷς ἀρετῆς πρὸς τὴν μίμησιν, τῶν ἐν εὐσεβείᾳ καλῶς τελειωθέντων.

Sanctificationis diuinam Arcam habentes, Deipara Virgo, te, quæ supra naturam Deum, qui capi non potest, cepisti, hymnis extollimus fideles in sæcula.

Ἁγιάσματος θείαν κιβωτὸν ἔχοντες θεοτόκε παρθένε σέ, τὴν χωρήσασαν ὑπερφυῶς τὸν Θεὸν τὸν ἀχώρητον, ἀνυμνολογοῦμεν πιστοὶ εἰς τοὺς αἰῶνας.

Ode 9. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Decenter vita traducta, ad desideratum pacificè, ter beate, Dominum abiisti, eodem ipso die, quo inclytus Stephanus venerandus Martyr finem vitæ oppetiit, quo cum simul gloriosè coronatus es & glorificatus.

Σεμνῶς βιώσας, πρὸς τὸν ποθούμενον εἰρηνικῶς, τρισμάκαρ, ἐξεδήμησας Κύριον, καθ' αὐτὴν τὴν ἡμέραν καθ' ἣν ὁ κλεινὸς Στέφανος τελειοῦται ὁ ὁσιομάρτυς, ᾧ καὶ συνδεδόξασαι.

E terris proficiscens ad cœlestes, Deifer, anima tua sacra habitationes, gaudentem vultum gerebat, videns Sanctos vnà secum congaudentes, & ad supernam vitam transmittentes.

Ἐκ γῆς ἀπαίρουσα, πρὸς οὐράνια ἱερὰ ψυχή σου, θεοφόρε, σκηνώματα, ἀγαλλόμενον εἶχε τὸ πρόσωπον, βλέπουσα τοὺς Ἁγίους αὐτῇ συγχαίροντας, καὶ πρὸς ὑπερκόσμιον ζωὴν ταύτην προπέμποντας.

Ecce iam associatus es Sanctorum ordinibus, Patriarcharum, Martyrum, Apostolorum, Confessorum,

Ἰδοὺ συνήφθης Ἁγίων τάγμασι, Πατριαρχῶν, Μαρτύρων, Ἀποστόλων, Ὁσίων τε, Προφητῶν καὶ Δι-

διδασκάλων καὶ Ἱεραρχῶν, οἷς καὶ συγχορεύων μακαριώτατε, μέμνησο πρὸς Κύριον ἡμῶν τῶν εὐφημούντων σε.

Σιὼν ἁγία θεοχαρίτωτε, πόλις Θεοῦ καὶ κατωχυρωμένον παλάτιον, τὴν πασῶν βασιλεύουσαν πόλεων, ἐν σοὶ ἀνακειμένην ταύτην περίσωζε, τοῦ Μεταφραστοῦ ταῖς ἱεραῖς κόρη δεήσεσιν.

Εἰς τοὺς αἴνους ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Εὐγενοῦς ἐκ ἀσπίλου ῥίζης ῥόδον κατέρυθρον, βεβαμμένον χάριτι τοῦ Πνεύματος, καὶ τοὺς πιστοὺς εὐωδίασας ὀσμαῖς συγγραμμάτων σου, Ἀποστόλων, Ἀθλητῶν, καὶ Ὁσίων τὰ σκάμματα, συνταξάμενος, ὧν καὶ σύστοιχος ὤφθης, θεοφάντορ Συμεών, τρυφῆς ἐν χλόῃ, τῇ ἐνδρόσῳ σκηνούμενος.

Ἱερατικῶς ἐξεχύθη σου, Συμεὼν, ἐν τοῖς χείλεσι, τοῦ ἁγίου Πνεύματος χάρις ἄρρητος. διὸ τὸν μάτην καυχώμενον, πλοκαῖς διαλέξεων ἐξελέγξας, ταπεινοῖς. ὡς καλάμη γὰρ γέγονε, κατὰ πρόσωπον τοῦ πυρὸς τεφρουμένη, καὶ σὲ μᾶλλον μεγαλύνων, ἀνεδείχθη φρίξας νόος σου τὴν δύναμιν.

Ὡς θεράπων γνώριμος τοῦ Θεοῦ, ἐκ τῶν ἔργων σου, ὡς ἁγίων σύσκηνος, ὡς ἀνύμνησας ὡς παρρησίαν κτησάμενος, ἁγνείᾳ τοῦ βίου σου, θεορρῆμον Συμεών, τῶν ὑμνούντων σε μέμνησο, τὸ φιλάγαθον τῆς ψυχῆς σου δεικνύων, ἵνα πάντες τῇ Θεοῦ φιλανθρωπίᾳ, πταισμάτων ἄφεσιν εὕρωμεν.

Prophetarum, Doctorum, & Hierarcharum, quibuſcum choreas ducens, Beatiſſime, recordare noſtri apud Dominum, qui tuas laudes proſequimur.

Sion ſancta gratiis à Deo condecorata, Vrbs Dei, & vndique communitum palatium, Reginam omnium vrbium tibi deuinctam, ac deuotam defende, Metaphraſtæ ſacris, ô Puella, precationibus.

Ad Laudes. Echus quartus.
ὡς γενναῖον ἐν μάρτυσι.

Ex nobili radice ortum duxiſti roſa omni ex parte rubicunda, gratiis Spiritus tincta, & fideles jucundè donans odoribus tuarum ſcriptionum, Apoſtolorum, Athletarum & Confeſſorum certamina explicans, quibuſcum vna collocatus, Diuina reuelans, Symeon, deliciarum in gramine, quod in rore eſt, habitans.

Vt Scripturæ verbis vtar, effuſa eſt, Symeon, in labiis tuis Spiritus ſancti gratia inæſtimabilis. Quapropter eum, qui fruſtra ſeſe iactabat, concertationum complexibus redarguẽs, atteris; factus eſt enim veluti ſtipula ante ignem in cinerem abiens, & te magnum facere viſus eſt, cum ob virtutes mentis tuæ timore perculſus contremuiſſet.

Veluti ſeruus Numinis factus, tuis operibus, veluti eodem cum Sanctis contubernio vtens, veluti vitæ tuæ caſtimonia libertatem adeptus, diuiniloque Symeon, eorum, qui te collaudant recordare, animum tuum in probitatem propenſum oſtendens, vt omnes Dei humanitate peccatorum remiſſionem conſequamur.

Gloria, &c.

Vita diuina perfecta speculatione actionem exornasti, Symeon beatissime; Namque cum diuino amore sapientiam deperisses, ex ore Spiritus gratia ditatus es, & vti fauum mellis dulcedinem tuorum sermonum nobis instillans, diuinis cogitationibus Ecclesiam Dei oblectas. Quapropter in cœlo conuersans atque inhabitans, pro nobis, qui tuam commemorationem peragimus, indesinenter Deum peccare.

Procimenon Apostoli.

Mirabilis Deus in Sanctis suis. In Ecclesiis, &c.

Ex Epistola Pauli ad Corinthios Lectio.

Fratres. Vnicuique datur reuelatio, &c. vsque ad, *Vnicuique, vt vult.*

Euangelium secundum Matthæum.

Dixit Dominus Discipulis suis, Vos estis lumen Mundi, &c. vsque ad, *Hic magnus vocabitur in regno cælorum.*

Δόξα, Καὶ νῦν.

Βίον ἔνθεον κατορθώσας, θεωρίᾳ τὴν πρᾶξιν κατεκόσμησας, Συμεὼν παμμακάριστε. τὴν γὰρ σοφίαν φιλήσας ἔρωτι θείῳ, ἐκ στόματος τοῦ Πνεύματος τὴν χάριν κατεπλούτησας, καὶ ὡς κηρίον μέλιτος τὸν γλυκασμόν σου τῶν λόγων ἀποστάζων ἡμῖν, εὐφραίνεις νοήμασι θείοις τὴν ἐκκλησίαν Χριστοῦ. διὸ ἐν οὐρανοῖς ἐμφιλοχωρῶν, αὐλιζόμενος, ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε τῶν ἐκτελούντων τὴν μνήμην σου.

Προκείμενον τοῦ Ἀποστόλου.


Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. Ἐν Ἐκκλησίαις.

Πρὸς Κορινθίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί. Ἑκάστῳ δίδοται ἡ φανέρωσις. καὶ τὰ ἑξῆς. ἕως τοῦ. Ἑκάστῳ καθὼς βούλεται.

Τὸ Εὐαγγέλιον ἐκ τοῦ Ματθαίου.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου. καὶ τὰ ἑξῆς. ἕως τοῦ. Οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.



ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ

ΣΥΜΕΩΝ ΤΟΥ ΛΟΓΟΘΕΤΟΥ

ΤΟΥ ΚΑΙ ΜΕΤΑΦΡΑΣΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ Θρῆνον τῆς ὑπεραγίας Θεοτόκου, ὅτε περιεπλάκη τὸ τίμιον σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

SAPIENTISSIMI AC DISERTISSIMI

SYMEONIS LOGOTHETÆ

QVI ET METAPHRASTES EST, ORATIO in lugubrem Lamentationem ſanctiſſimæ Deiparæ pretioſum Corpus Domini Noſtri Ieſu Chriſti amplexantis.

Interprete LEONE ALLATIO.

ΤΟΥΤΟ ἐκεῖνο, γλυκύτατε Ἰησοῦ, τὸ τοὺς ἐκ Περσίδος ἀφιγμένους εἰς Βηθλεέμ, οὐ μόνον χρυσὸν ὡς Βασιλεῖ, καὶ λίβανον ὡς Θεῷ, ἀλλὰ καὶ σμύρναν ὡς θνητῷ προσενεγκεῖν γεννηθέντι σοι. Τοῦτο ἐκεῖνο, τὸ ῥομφαίαν μέλλειν διελθεῖν τῇ καρδίᾳ μου, καθὼς Συμεὼν προηγόρευσε. Τοῦτο ἐκεῖνο, τὸ, πῦρ, ὃ βαλεῖν ἦλθες ἐπὶ τὴν γῆν, ὥσπερ αὐτὸς προεδίδαξας. Καυστικώτερον γὰρ τοῦ πυρὸς μητρὶ φιλοτέκνῳ παιδὸς μονογενοῦς ἀπονέκρωσις. Μικρὸν πρὸς τοὐναντίον μοι περιΐσταται καὶ ὁ τοῦ Γαβριὴλ ἀσπασμός. Οὐ γὰρ καὶ νῦν ὁ Κύριος μεθ' ἐμοῦ, καθὼς ἐκεῖνος μοι ὑπεσχεῖ-

HOC illud eſt, dulciſſime Ieſu, ex Perſide in Vrbem Bethleem aduectos, non tantum aurum, vt Regi, & incenſum vt Deo, ſed & Myrrham, vt mortali tibi iam nato obtuliſſe. Hoc illud eſt, gladium meam ipſius animam penetraturum, vti Symeon prædixerat. Hoc illud eſt, ignem te veniſſe in terram mittere, vt tu antea edocueras. Igne ſiquidem Matri filiorum amanti, vnigeniti Filij mors adurentior eſt. Parum quoque deeſt, ne Gabrielis ſalutatio contra mihi eueniat. Neque enim modò Dominus mecum eſt, quemadmodum ille promiſerat; ſed tu pianè exanimatus inter

mortuos inferorum penitissima conclauia lustras; ipsa spirans viuensque cum viuentibus ætatē ago. Neque tamen animo comprehendere queo, quodnam ob facinus vita tibi adempta est. Obtegit siquidem cœlos virtus tua, vt Abbacuc ait, & nunc iaces informis, qui eras speciosus forma præ filiis hominum; & inglorius terra tegeris, cuius gloriam cœli enarrant: & monumentum te gestat incisum, quem è monte sine manibus lapidem abscissum Daniel conspexerat. Inde nulli passioni obnoxia natiuitas tua commonstrabatur; veluti in rubo diuina tua cum hominibus conjunctio, & in Iosepho ab Hebræis structæ insidiæ: & in Isaacio mortis similitudo. Reliquum est Ionæ, tuæ Resurrectionis arcanum. Væ mihi miseræ! in lapide demortuus iaces, qui ex lapidibus filios suscitas Abraham. Etenim si propter tuam salutarem passionem disruptis lapidibus, quam plurimi nomini tuo non credidissent, non haberes vbi caput declinares viuus, tu Iudæis dixisti, quos propter dolosas cogitationes vulpes compellasti; sed demortuus illud reclinasti in Cruce, cum substratam vt lectulum, Latronis fidem comperisses. Offendit me sol, concinit Canticorum modulatrix. Occidit Sol, cum nondum inclinasset meridies, Hieremias enunciat. Profecto enim & solem sensibus obnoxium tristitia inuoluit, cùm Sol intellectualis iustitiæ defecisset: & saxa rupta sunt, quibuscum vna disrumpi cor meum haud multum abierit. O caro sancta! quæ ex sanguinibus meis mirum in modum coagulata

λατο· ἀλλὰ σὺ μὲν ἄπνους ἐν νεκροῖς καὶ ᾅδου ταμιεῖα ἐρευνᾷς τὰ ἐνδότερα· ἐγὼ δὲ τὸν ἀέρα πνέω καὶ μετὰ ζώντων περίειμι. Καίτοι οὐ συνορᾶν δύναμαι ποῖον ἔργον πεφόνευσαι. Ἐκάλυψε γὰρ οὐρανοὺς ἡ ἀρετή σου κατὰ τὸν Ἀββακοὺμ· καὶ νῦν ἄμορφος κεῖσαι, ὁ ὡραῖος παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ ἄδοξος καλύπτῃ ἐν γῇ, οὗ τὴν δόξαν διηγοῦνται οἱ οὐρανοί. καὶ μνῆμα φέρει σε λελατομημένον ὃν ἐξ ὄρους ἀλαξεύτου τμηθέντα εἶδεν ὁ Δανιήλ. Ἀπαθὴς σου ἡ γέννησις ἐντεῦθεν ἐδείκνυτο, ὡς ἐν τῇ βάτῳ ἡ θεϊκή σου πρὸς ἀνθρώπους συνάφεια, καὶ ἐν τῷ Ἰωσὴφ ἡ τῶν Ἰουδαίων ἐπιβουλή, καὶ ἐν τῷ Ἰσαὰκ, τὸ τοῦ θανάτου ὁμοίωμα. Λείπεται οὖν τὸ τοῦ Ἰωνᾶ τῆς ἀναστάσεώς σου μυστήριον. Οἴμοι ὅτι ἐν λίθῳ κεῖσαι νεκρὸς, ὁ ἐκ τῶν λίθων ἐγείρων τέκνα τῷ Ἀβραάμ. Εἰ γὰρ οὐ τῶν λίθων ῥαγέντων διὰ τὸ πάθος σου τὸ σωτήριον, πολλοὶ σου τῷ ὀνόματι πεπιστεύκασιν, Οὐκ εἶχες ποῦ κλῖναι τὴν κεφαλὴν ζῶν, εἶπας Ἰουδαίοις αὐτὸς, οὓς ἀλώπηκας ἐνύξω διὰ τοὺς δολεροὺς αὐτῶν λογισμούς, ἀλλ᾽ ἔκλινας ταύτην τεθνηκὼς ἐπὶ τοῦ Σταυροῦ, ὑπεστρωμένην ὡς κλίνην εὑρὼν ἐπιγνώμενος τὴν πίστιν Λῃστοῦ. Παρέβλεψέ με ὁ ἥλιος, λέγει ἡ ᾀσματίζουσα. Ἔδυ ὁ ἥλιος ἔτι μεσούσης ἡμέρας, Ἱερεμίας φθεγγέσθω μοι. Ναὶ γὰρ καὶ ἥλιον αἰσθητὸν ἐπέδραμε στυγνότης, τοῦ νοητοῦ ἡλίου τῆς δικαιοσύνης ἐκλείποντος. Καὶ πέτραι ῥῆξιν ὑπέμειναν, αἷς συρραγῆναι κινδυνεύει ἡ καρδία μου. Ὦ σὰρξ ἁγία, ἥ τις ἐξ αἱμάτων ἐμῶν ἐτυρώθης θαυμασίως. Τὸ γὰρ ἀρ-

χρεῖον χρέος ἀποδοῦσα πληρέστατον. Εἰς τοῦτο μοι τοὺς οὐρανοὺς ὑπέκλινας Δέσποτα, καὶ ὡς ὑετὸς ἐπὶ πόκον κατέβης, ἵνα καὶ νέκρωσιν ὑποστῇς, ἁγίων μὲν κεκοιμημένων ἐξεγείρουσαν σώματα, νεκροῦσαν δὲ τὴν τεκοῦσάν σε. Τί ταῦτα, υἱὲ ποθεινότατε; Ἀβλαβῶς μὲν ἐμίχθη πάλαι τὰ ἄμικτα, καὶ πῦρ θεότητος ἄϋλον, σπλάγχνον ἐμῶν οὐ κατέφλεξεν· ἄρτι δ' ἕτερον πῦρ τὰ ἐντός μου βόσκεται ἅπαντα, καὶ μέσην τὴν καρδίαν λυμαίνεται. Χαρᾶς ἐγγύας δι' Ἀγγέλου παρέλαβον, καὶ ἀφηλόμην δάκρυον πᾶν ἀπὸ προσώπου τῆς γῆς· πλὴν ἀλλὰ τοῦτο μόνον τοῖς ἐμοῖς πλαίνεται δάκρυσιν. Εἰς ᾅδου καταβαίνεις οἶδ' ὅτι τὰς ἐγκεκλεισμένας ἀπολύσων ψυχάς, ἀλλὰ καὶ τὴν ἐμὴν ἐκεῖσε συγκατασπᾷς, ἔμπνουν νεκρὸν παρατρέχων με. Ὦ νεκρὲ γυμνέ, καὶ ζῶντος Λόγε Θεοῦ ἑκουσίως ὑψωθῆναι κατακεκριμένε Σταυρῷ, ἵνα πάντας ἑλκύσῃς πρὸς ἑαυτόν. Ποῖον σου τῶν μελῶν τοῦ σώματος ἔμεινεν ἀπαθές. Ὦ θεία μοι κορυφὴ ἀκάνθαις διελεγμένη, καὶ ταύτας ἐμπήξασα τῇ καρδίᾳ μου. Ὦ κοσμία καὶ ἱερὰ κεφαλή, ἥ τις πάλαι μὲν οὐκ εἶχες ποῦ κλιθῆναι καὶ ἀναπαύσασθαι· νῦν δὲ πρὸς ταφὴν μόνον ἐκλίθης, καὶ ἀναπέπαυσαι, καὶ κατὰ τὸν Ἰακώβ, ὡς λέων κεκοίμησαι. Ὦ ποθεινὴ καὶ ἐρασμία μοι κεφαλή, καλάμῳ τετυμμένη, ὡς ἀνορθώσῃς τὸν ὡς σαθρὸν τοῦ πονηροῦ κατεαγότα κάλαμον, καὶ μακρὰν τοῦ παραδείσου γενόμενον. Ὦ σιαγόνες δεδιγμέναι ῥαπίσματα. Ὦ στόμα σίμβλον ἕτερον μέλιτος, σὺ καὶ χολῆς ἐγεύσω πικροτάτης, καὶ ὀ-

es: namque antiquum debitum ſufficientiſſimè reſtitui. In hoc mihi Domine cœlos declinaſti; & vt imber ſuper lanam deſcendiſti, vt mortem ſubires, quæ Sanctorum dormientium corpora exſuſcitaret, me verò tui Genitricem interimeret. Quæ hæc ſunt? Fili deſideratiſſime? Abſque damno olim quæ immiſceri apta non erant, commixta ſunt, & ignis diuinitatis non materiatus viſcera mea non exuſſit, at nunc alius ignis intima mea ſingula depaſcitur, & cor medium conuulnerat. Lætitiæ ſponſionem accepi per Angelum, lacrymaſque omnes è facie terræ exterminaui: nihilominus hę meis hinc lacrymis increſcunt. Deſcendis ad inferos, Animas, quæ ibi obſerantur, ſat noui, liberaturus, verum meam illuc vna tecum corripis, cum me mortuam ſpirantem prætereas O mortue nude, & viui Dei Verbum, ſponte ad Crucem altius tolli condemnaté, vt omnes ad te traheres! Quodnam ex tuis membris tormento non ſubjacuit? O diuinum mihi caput ſpinis perfoſſum, eaſque cordi meo infigens! O venerandum ſacrumque corpus, quod olim non habebas, vbi declinans quieſceres: nunc ſolum ad ſepulturam inclinatum eſt, quietem conſecutum, & vt Iacobus aiebat, veluti Leo obdormiuiſti! O deſideratum concupitumque mihi caput calamo percuſſum, vt calamum imbellis Dæmonis artibus diſruptum, longéque à Paradiſo factum, inſtaurares! O maxillæ alapis fœdatæ! O os mellis alius fauus, licet amariſſimum fel deguſtaſti, & acerrimum acetum potionem ſumpſiſti!

O os, intra quod dolus inuentus non eſt, etſi doloſum oſculum te prodidit ad mortem! O manus, quæ hominem creaſtis, & nunc Cruci affixæ, & ad inferos protenſæ, manum illius arripitis, quæ olim lignum tetigit, & à lapſu Adamum vniuerſum excitatis! O latus lancea perforatum propter eam, quæ ex latere creata fuerat, primam Matrem! O pedes, qui per aquas, veluti per terram proceſſiſtis, & fluidam naturam manifeſtè ſanctificaſtis! Væ mihi, Fili, ipſa parente antiquior, quas ſepulchrales lamentationes, & quas laudationes funebres tibi decantauero? Non amplius vrna ſum ego, mannæ receptaculum: manna ſiquidem animas enutriens circa ſepulchrum effuſum eſt. Non amplius rubus incombuſtus; tota ſiquidem intellectuali tui monumẽti igne exuſta ſum. Non amplius candelabrum aureum; lumen ſiquidem ſub modio poſitum eſt. Vt magnifica oſtendit mihi, qui potens eſt! Ex omnibus nationibus elegiſti me. Prophetarum linguas mei cauſa diſertas effeciſti. De cœlo progreſſurus, vt bene ipſe noſti, meum in mundum progreſſum expectaſti; cũ non haberes vas, quod eſſet dignum, & capax diuinitatis. Tibi ſoli, & antequam ipſa conciperer, parentes mei me deſponderunt. In lumen hoc vitæ educta ſum, & breuiſſimo tempore cum parentibus commorata, tota toto tibi reddor, & in templo offeror, templum tibi futura puriſſimum. Pater meus & mater mea dereliquerunt me, tu verò me aſſumpſiſti, & paiſti per Angelum. Et quod ait

ξους ἐπιπάθης δριμύτατον. Ὦ στόμα, οὗ περ οὐχ εὑρέθη δόλος ἐντός, εἰ καί σε δολερὸν εἰς θάνατον προδέδωκε φίλημα. Ὦ χεῖρες, αἱ τὸν ἄνθρωπον πλαστουργήσασαι, καὶ νῦν προσηλωμέναι μὲν τοῦ Σταυροῦ, ἐν ἅδου δὲ προτεινόμεναι, καὶ χειρὸς ἁπτόμεναι τῆς ἁψαμένης τοῦ ξύλου πάλαι, καὶ τοῦ πτώματος ὅλον τὸν Ἀδὰμ ἐξεγείρουσαι. Ὦ πλευρὰ λογχευθεῖσα διὰ τὴν ἐκ πλευρᾶς πλασθεῖσαν προμήτορα. Ὦ πόδες, ἐφ' ὑδάτων πεζεύσαντες, καὶ τὴν ῥοώδη φύσιν εἰκότως ἁγιάσαντες. Οἴμοι υἱὲ μητρὸς παλαιότερε. Ποίους θρήνους ἐπιτυμβίους, καὶ τίνας ὕμνους ἐπικηδίους σοι ᾄσομαι. Οὐκέτι στάμνος μαννοδόχος ἐγώ. Τὸ μάννα γὰρ τὸ ψυχοτρόφον ἀμφὶ τὸν τάφον ἐκκέχυται. Οὐκέτι βάτος ἐγὼ ἀκατάφλεκτος· ὅλη γὰρ νοητῷ πυρί σου τῆς ταφῆς καταπεφλεγμαι. Οὐκέτι χρυσῆ λυχνία ἐγώ· τὸ γὰρ φῶς ὑπὸ τὸν μόδιον τέθειται. Ὡς πολλὰ τὰ μεγαλεῖα ὁ δυνατὸς ἐνεδείξατό μοι. Ἐκ πασῶν γενεῶν ἐξελέξω με. γλώσσας Προφητῶν ἐτράνωσας δι' ἐμέ. Μέλλων οὐρανόθεν καταφοιτᾶν, ὡς ᾔδεις αὐτός, τὴν ἐμὴν εἰς τὸν κόσμον ἀνέμενες πρόοδον, μὴ ἔχων σκεῦος ὑποδοχῆς θειότητος ἄξιον. Σοὶ μόνῳ κατηγγυήσαντό με καὶ πρὸ συλλήψεως οἱ γεννήτορες. Εἰς φῶς ἐξῆλθον τοῦτο τοῦ βίου, καὶ βραχύτατα τοῖς γονεῦσι παρέμεινα. Ὁμοῦ γὰρ μαστοῖς ἀποταξαμένη καὶ γάλακτι, καὶ συναποταξαμένη καὶ τοῖς γεννήτορσι, καὶ ὅλη ὅλῳ προσαποδοθεῖσα σοι, καὶ ναῷ ἀνετέθην, ναὸς γενησομένη σοι καθαρώτατος. Ὁ πατήρ μου, καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, σὺ δέ με προσελάβου, καὶ δι' Ἀγγέλου ἐξέθρεψας.

καὶ ὅ φησιν ὁ Δαυίδ, ἄρτον Ἀγγέλων ἔφαγεν ἄνθρωπος. Ἄγγελον εἶδον πρωτοστάτην, ὡς δεσπότιδι προσομιλοῦντά μοι· ὃν Ζαχαρίας πρὶν ἰδὼν ἐκωφώσατο, καὶ γλωσσοπέδην ὑπέμεινεν. Καὶ ἠγαλλιάσατο καὶ βρέφος ἔνδον γαστρός, καὶ τὸν ἀσπασμὸν ἠμείψατο τῷ σκιρτήματι, σὲ προσκυνοῦν τὸν ἐν γαστρί μου κυοφορούμενον. Νόμους ἐν ἐμοὶ κατέλυσας φύσεως. Ἀσπόρως συνελήφθης, ὡς οἶδας, καὶ μετὰ τόκον με παρθένον ἐτήρησας. Τέθεικάς με μητέρα ἐπὶ τέκνῳ εὐφραινομένην, καὶ τὸν δι' ἐμὲ θεοπάτορα, καὶ πασῶν ὑπερκειμένην θυγατέρων, ἃς ὁ Σολομὼν προηνύξατο. Βασιλεῖς, καὶ πτωχευούσῃ μοι, δουλοπρεπῆ παρέσχον προσκύνησιν. Οὐρανῶν με πλατυτέραν ἀνέδειξας, ἐξ ἧς ὁ τῆς δόξης ἔλαμψεν ἥλιος. Καὶ ἵνα τὰ λοιπὰ τῶν περὶ ἐμὲ τεραστίων παραδράμωμαι, μακαριστὴν ἐν πάσαις γενεαῖς με πεποίηκας, καὶ δι' ἐμοῦ τὸν ἄνω κόσμον πληρωθῆναι διῳκονόμησας. Νῦν δὲ οὐκ οἶδ' ὅπως ταῦτα συγκέχυται· καὶ ἀψινθίῳ μοι τὸ μέλι συμπέφυρται. Καὶ γὰρ συννεκροῦσθαι προσάζομαι νῦν, καὶ συνθάπτομαι, καὶ μέχρις ᾅδου συγκαταβαίνειν σοι. Νεφέλην με φωτὸς ὁ προβλέπων ὠνόμασεν, ἀντὶ νεφελῶν, ὡς ἔοικε, τὰ δάκρυα στάζουσαν. Μήποτε ἄρα περὶ ἐμοῦ καὶ τοῦτο προείρηται, Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιών, ὡς σκηνὴ ἐν ἀμπελῶνι; ἰδοὺ γὰρ ἀποτετρυγημένος μοι πρόκειται ὁ βότρυς τῆς ζωῆς ὁ ἀκήρατος, ὁ τὸ ζωηφόρον αἷμα κενώσας ὡς οἶνον, πιστῶν καρδίας εὐφραίνοντα. Βαβαί, πῶς ὁ κατάψυχρος οὗτος λίθος, ὡς σιδήρῳ πληττόμενος τῷ κραταιῷ σου βρα-

Dauid, panem Angelorum manducauit homo. Angelum vidi principem, mecum veluti Dominæ communicantem; quem prius Zaccharias intuitus auditum amisit, & linguæ ligamen sustinuit Et exultauit infans in vtero, & saltu salutationi respondit, te adorans, qui in vtero meo gestabaris. Naturæ in me leges dissoluisti. Sine semine conceptus, vt scis, & post partum me virginem conseruasti; effecisti me matrem de Filio lætantem, vt qui propter me Dei parens audiit, pronunciat,& omnibus filiabus superiorem, quas Salomon præsignificauerat. Reges mihi, licet res essent pauperculæ, seruilem adorationem exhibuerunt. Cœlis ipsis me ampliorem ostendisti, ex qua gloriæ sol resplenduit;& vt reliqua, quæ circa me admirabilia patrata sunt, silentio prætercam, per me beatam in omnibus generationibus mundum superiorem compleri constituisti. Nunc verò, nescio qua ratione hæc confusa sunt omnia, & mel mihi ex absinthio commiscetur. Namque nunc vna tecum commori cogor, vno tecum sepulchro contegi, simulque vna tecum ad inferos progredi. Nebulam me lucis præuidens ille nuncupauit, pro nebulis, vt videtur, lacrymas fundentem. An non de me etiam illud pronunciatum est, Derelinquetur filia Sion veluti tabernaculum in vinea? Ecce enim prorsus vindemiatus est vitæ racemus incorruptus, qui viuificum sanguinem, veluti vinum fidelium animas lætificantem effudisti Papæ, quomodo frigidissimus hic lapis ferro, valido tuo brachio percussus, scintillas ani-

mæ meæ intellectuales emittit. Quare non pectus perrumpo, & arcaniorem tibi sepulturam concido, vt in visceribus meis te rursus excipiam, & in corde meo sepulturam tibi condam? Concha ego mystica sum, quæ à saxo non abscinditur margarifero, qui ex diuinitus illuminato fulgetro mihi adhæsit. Quæ nunc pro quibus intueor! Stella interdiu coruscans, cum nascereris, à tua magnificentia noua designata est, & clam te natum cœlum prædicabat; sed hodie ipsum quoque solem sensilem abscondisti, & noctem ipso meridie, refellentem impios, inuexisti. Persas ibi genua flectentes stella aduocauit; hîc notos & amicos Deicidarum metus longe dissipauit. Ibi munerum adductio & adoratio: hîc vestimentorum partitio & irrisio, & iniuriarum corona. Nunc Iudæi, vt antea quærebant signum è cœlo. Intueantur solem obtenebratum, & lumen occulentem dignis caligine. Nunc & inanimatum hoc templum pro Iudæorum more te deplorat. Quemadmodum enim Iudæi, cum quis Deo maledicebat, vestimenta sua scindebant, ita & hoc veluti vestimentum Velum scindit te conspiciens à Dei hostibus improbè, ac indignè pertractatum. Conteritur & terra motibus diuexata, tuaque passione coagustata; sed vbinam sunt, quinque millia hominum, quos mirandum in modum enutriuisti? Solus equidem Iosephus audacter, liberéque Pilatum allocutus corpus tuum expostulauit, ne insepultum abiiceretur. Vbi sunt infirmorum cœtus, quos ex variis morbis sanasti, vel

Cognouit itaque Iesus spiritu, ac Thomam accersens, Vade, inquit, in eum locum, inque petra sedentem hominem, ac meam penicillo ducentem formam, ad me adducito; vnáque quam ad me affert Epistolam, vt quod à mittente mandatum accepit, adimpleam. Abiit Thomas, exque signo operis, quod audierat, agnitum hominem ad Iesum adduxit. Nec dumque ab eo accepta Epistola, aduentus causam ad ipsum, vimque Epistolæ ei Christus edixit. Tumque ad eo ea accepta ac lecta, aliam vicissim ad Augarum, ita se ad verbum habentem, misit.

Ἔγνω οὖν τοῦτο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ τὸν Θωμᾶν μετακαλεσάμενος, Ἀπελθὲ φησὶ πρὸς τόνδε τὸν τόπον, καὶ τὸν ἐπὶ τῆς πέτρας καθεζόμενον ἄνθρωπον, καὶ τὴν ἐμὴν μορφὴν μεταγράφοντα, ἄγαγε πρὸς με, ἐπιφερόμενος καὶ ἣν οἴκοθεν ἦλθεν ἔχων ἐπιστολὴν, ἵνα τὴν τοῦ ἀποστείλαντος αὐτὸν ἐκπληρώσῃ διαταγήν. ἀπελθὼν οὖν ὁ Θωμᾶς, καὶ τὸν Ἀνανίαν ἀπὸ τοῦ ὃ ἤκουσεν εὑρὼν διαπραττόμενον ἐπιγνοὺς, ἤγαγε πρὸς τὸν Ἰησοῦν. πρὸ δὲ τοῦ λαβεῖν τὴν ἐπιστολὴν παρ᾽ αὐτοῦ, εἶπεν αὐτῷ ὁ Χριστὸς καὶ τὴν αἰτίαν τῆς παρουσίας τῆς πρὸς αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἐπιστολῆς. εἶτα λαβὼν ταύτην, καὶ διελθὼν, ἑτέραν ἐπιστολὴν πρὸς Αὔγαρον ἀντιπέπομφεν ἐπὶ λέξεως οὕτως ἔχουσαν.

Μακάριος

Μακάριος εἶ, Αὔγαρε, πιστεύσας ἐν ἐμοὶ μὴ ἑωρακώς με. γέγραπται γὰρ περὶ ἐμοῦ, τοὺς ἑωρακότας με μὴ πιστεύσειν ἐν ἐμοί· καὶ ἵνα οἱ μὴ ἑωρακότες με, αὐτοὶ πιστεύσωσι, καὶ ζήσωνται. περὶ δὲ οὗ ἔγραψάς μοι ἐλθεῖν πρὸς σέ, δέον ἐστὶ πάντα, δι' ἃ ἀπεστάλην ἐνταῦθα πληρῶσαί με· καὶ μετὰ τὸ πληρῶσαι ἀναληφθῆναι πρὸς τὸν ἀποστείλαντά με Πατέρα. καὶ ἐπειδὰν ἀναληφθῶ, ἀποστελῶ σοι ἕνα τῶν μαθητῶν μου, ὅστις τὸ πάθος σου θεραπεύσει, καὶ
2. ζωὴν αἰώνιον καὶ εἰρήνην σοί, 2 καὶ τοῖς σὺν σοὶ παρέξει. καὶ ποιήσει τῇ πόλει σου τὸ ἱκανόν, πρὸς τὸ μηδένα τῶν ἐχθρῶν κατισχῦσαι αὐτῆς.

Ἐπιδοὺς οὖν τῷ Ἀνανίᾳ τὴν τοιαύτην ἐπιστολὴν ὁ Χριστός, ἐπεὶ καὶ περὶ τὴν ἑτέραν ἐντολὴν τοῦ κυρίου αὐτοῦ εἰς πέρας ἀγαγεῖν ἔγνω διαμεριμνῶντα αὐτὸν καὶ φροντίζοντα· τουτέστι τὴν τοῦ εἴδους αὐτοῦ ὁμοιότητα πρὸς ἐκεῖνον ἀπενεγκεῖν· νιψάμενος ὕδατι τὸ πρόσωπον ὁ σωτήρ, εἶτα τὴν ἀπὸ τούτου ἰκμάδα ἐν τῷ ἐπιδοθέντι αὐτῷ χειρομάκτρῳ ἀπομαξάμενος, ἐντυπωθῆναι τὸν αὐτοῦ χαρακτῆρα ἐν αὐτῷ ᾠκονόμησε θείως καὶ ὑπὲρ λόγον· καὶ τοῦτο τῷ Ἀνανίᾳ ἐπιδούς, τῷ Αὐγάρῳ ἐπιδοθῆναι προσέταξεν, ὡς ἂν τοῦ τε πόθου παραμύθιον, καὶ τῆς νόσου αὐτῷ ᾖ. ὡς οὖν ὑποστρέφων μετὰ τούτων ὁ Ἀνανίας, εἰς τὸ κάστρον Ἱεραπόλεως ἔφθασεν, ὃ τῇ μὲν Σαρακηνῶν φωνῇ Μεμμὶχ λέγεται, τῇ δὲ τῶν Σύρων Μαβούκ, ἔξωθεν τοῦ τοιούτου καταλύσας πολίσματος, σωρείας κεράμων νεωστὶ κατασκευασθέντων ἐκεῖσε κειμένης, ἐνταῦθα τὸ ἱερὸν ἐκεῖνο ῥάκος ὁ Ἀνανίας ἀπέκρυψε· καὶ περὶ μέσης νυκτὸς πῦρ ἐφάνη πολὺ τὸ τοσοῦτον

Beatus es, Augare, qui in me credideris, quem non vidisti. De me enim scriptum est, eos qui me viderunt non credituros in me, vt ij qui non viderant, credant ac viuant. Quòd verò ad me scribis vt ad te proficiscar, hic necesse habeo omnia implere propter quæ sum missus; iisque demum absolutis, ad Patrem qui me misit, reuerti. Cæterum cùm primùm ad eum me recepero, vnum ex meis discipulis ad te mittam, qui & morbum tuum curet, & vitam æternam ac pacem, tibi" tuisque præstet; tuæque cautionem ciuitati præbebit, vt aduersus eam nulli hostes præualere possint.

Hanc vbi Ananiæ Christus dedit Epistolam, quòd animi anxium, sciret vt & alterum heri sui præceptum impleret; nempe vt formæ ipsius similitudinem ad ipsum deferret; ipse aquâ faciem lauans; tumque manantem inde humorem oblato mantili abstergens, diuino, vimque omnem rationis ac dicendi facultatem superante, consilio suam in eo figuram expressit: Tradensque Ananiæ, Augaro vt daret, præcepit, vt & amoris solatium haberet & morbi remedium. His onustus Ananias vbi ad Hierapolitanum oppidum peruenit, quod Saracenorum quidem lingua Memmich, Syrorum verò, Mabuc dicitur, extra oppidum cum diuertisset, illicque loci tegularum recens coctarum cumulus congestus esset, in eis Ananias sacrum illud linteum abdidit. Ad mediam autem noctem, ingens incendij vis toto circum loco diffusa apparuit; visumque oppidianis omnia procul ardere, vt suis iam rebus diffisi, effusi mœnibus, de incendio cuius terrifica species obiecta fuerat, perquirerent. Inter hæc in-

Christi ad Augarum responsio.

uentum Ananiam, velut facinoris auctorem tenent; ac quid istud rei interrogant, quisve ipse sit, ac quò vadat, & vnde profectus sciscitantur. Anceps animi Ananias pro alienæ criminationis periculo, interim narrat vnde sit, ac vnde veniat, quamve sarcinam ferat; aitque se in tegulis deposuisse, vnde visum accendi incendium. Mox itaque rei vt verè esset noscendi auidi, locum scrutantes, non hoc solum offenderunt quod Ananiæ illic conditum erat, sed & in vna vicina tegula diuinam illam expressam effigiem; inaudito modo, & vt nemo mente assequi queat, ex priore non manufacta linteo deformata Imagine testæ impressam. Quod cùm vidissent, pleni stupore & admiratione, tum eius rei nomine, tum quòd ignis ardens nusquam occurrisset, sed ex formæ claritate visa esset flamma emicare; tegulam quidem, quæ diuinam in se hauserat formam, velut sacrum aliquod pignus ac pretiosum thesaurum apud se retinuerunt, diuinam huius vim ex eo quod visum erat, coniectantes: primum autem exemplar & eius ministrum veriti retinere, ad Augarum miserunt. Hactenusque incolumis est ac venerationem habet apud eius oppiduli incolas, quæ in tegula forma expressa est; eius quæ non picta est, ipsa non picta Imago; eius quæ non manufacta, ipsa non manufacta. Ananias autem, peracto quod propositum erat itinere, quæ interim gesta acciderant hero declarauit, ac quæ ferebat salutaria symbola, reddidit.

Altera non manufacta Imago ex priore prototypa.

κεραμεῖον περικυκλοῦν, ὡς ἐν τοῖς τοῦ ἄστεος δοκεῖν πάντα τὰ πέριξ πυρὶ καταφλέγεσθαι· καὶ περὶ ἑαυτῶν ἤδη δείσαντας ὑποψήσιν, καὶ διερευνᾶσθαι περὶ τῆς ὁρωμένης πυρκαϊᾶς. ἐκεῖσε δὲ τὸν Ἀνανίαν εὑρεθέντα, συνεῖχον ὡς αὐτουργὸν τοῦ τολμήματος· καὶ διηρεύνων τὸ περὶ τοῦ πράγματος· καὶ τίς τε εἴη αὐτός, καὶ ποῖ βαδίζει, καὶ ὅθεν διαπεπτωκὼς ἀφίκοιτο. ὡς δὲ τῷ ἀγνοούμενῳ τοῦ αἰτιάσεως ὁ Ἀνανίας διηπορεῖτο, πόθεν γε ὅθεν εἴη, καὶ πόθεν ἔρχεται, καὶ τί ἐπιφέρεται διεσάφησε· καὶ ἀποθέσθαι ἐν τοῖς κεραμοῖς ἐδήλωσε τὸ ἐπιφερόμενον, ὅθεν ἐδόκει ἀναπτεσθαι καὶ ἡ φλόξ. εὐθὺς δὲ ἐκεῖνοι τὴν τῶν λεγομένων βουληθέντες διαγνῶναι ἀλήθειαν, τὸν τόπον διερευνησάμενοι, εὗρον οὐ μόνον τὸ ὑπὸ τοῦ Ἀνανίου ἐκεῖσε ἀποτεθέν, ἀλλὰ καὶ ἐν τῷ πλησιάζοντι τῶν κεραμίων ἑνί, ἕτερον ἐκτύπωμα τοῦ θείου ἀπεικονίσματος, παραδόξως καὶ ὑπὲρ νοῦν ἐπὶ τὸ ὄστρακον ἀπὸ τοῦ ὑφάσματος τῆς ἀγράφου μεταγραφείσης μορφῆς. ὃ καὶ θεασάμενοι, καὶ θάμβους ὁμοῦ καὶ ἐκπλήξεως γενόμενοι ἔμπλεω, διά τε τοῦτο, καὶ διὰ τὸ μηδαμοῦ πῦρ εὑρεθῆναι καιόμενον, ἀλλ' ἀπὸ τῆς ἐν τῇ μορφῇ λαμπηδόνος δόξαι τὴν φλόγα ἐκπέμπεσθαι, τὸν μὲν κέραμον τὸν ἀπομαξάμενον ἐν ἑαυτῷ τὸ θεῖον ἐκτύπωμα, κατέσχον παρ' ἑαυτοῖς ὥσπερ τι κειμήλιον ἱερόν, καὶ πολύτιμον θησαυρόν· ἀπὸ τοῦ ὀφθέντος τὴν περὶ αὐτὸ στοχασάμενοι θείαν ἐνέργειαν. τὸ πρωτότυπον δὲ καὶ τὸν τούτου διάκονον δείσαντες κατέχειν ἀπέστειλαν πρὸς τὸν Αὔγαρον· καὶ νῦν ἔστι σωζομένη καὶ τιμωμένη παρὰ τοῖς τῆς τοιαύτης πολίχνης οἰκήτορσιν, ἡ ἐν τῷ κεράμῳ μορφή· τῆς μορφῆς τῆς ἀγράφου ἡ ἄγραφος· καὶ τῆς ἀχειροποιήτου, ἡ ἀχειροτεύκτος. ὁ δὲ Ἀνανίας τὴν προκειμένην αὐτῷ πορείαν διανύσας, τῷ κυρίῳ αὐτοῦ τὰ μεταξὺ διηγήσατο, ἀποδοὺς καὶ ἃ ὑπεφέρετο σωτήρια σύμβολα.

Καὶ οὗτος μὲν ὁ παρὰ τῶν πλειόνων λεγόμενος λόγος, περὶ τῆς ἐν τῷ ὑφάσματι ταύτης ἀχαράκτου μορφῆς τοῦ σωτῆρος ἡμῶν. λέγεται δέ τις καὶ ἕτερος περὶ τούτου λόγος, οὔτε τὸ πιθανὸν ἐκφεύγων, οὔτε μαρτύρων χρηστῶν ἀπορῶν· διὸ καὶ τοῦτον ἐκθήσομαι, ἵνα μή τις ὑποτοπάσῃ ἐν τῷ ἀγνοεῖν τοῦτον κρατύνειν τὸν ἕτερον. καὶ πάντως οὐδὲν θαυμαστὸν ἐν τοσούτῳ χρόνῳ παρατραπῆναι πολλάκις τὴν ἱστορίαν. περὶ μὲν τὸ καίριον τῆς ὑποθέσεως, ὁμοίως πάντες συμφέρονται, καὶ ὁμολογοῦσιν ἀπὸ τοῦ κυριακοῦ προσώπου τὴν ἐν τῷ ὑφάσματι ἐκτυπωθῆναι παραδόξως μορφήν· περὶ δὲ τῶν τοῦ πράγματος, ἤτοι τὸν καιρὸν διαφέρονται· ὃ οὐδὲν τῇ ἀληθείᾳ λυμαίνεται, εἴτε πρότερον, εἴτε ὕστερον γέγονεν. ἔχει δ' οὕτως καὶ τῶν λόγων ὁ ἕτερος.

Ἐν τῷ μέλλειν φασὶ τὸν Χριστὸν ἐπὶ τὸ ἑκούσιον πάθος ἰέναι, ἡνίκα τὴν ἀνθρωπίνην ἀσθένειαν ἐνδεικνύμενος ἀγωνιῶν ἑωρᾶτο, καὶ προσευχόμενος, ὅτε καὶ τοὺς ἱδρῶτας αὐτοῦ ὡσεὶ θρόμβους σταλάζειν αἵματος ὁ τοῦ εὐαγγελίου λόγος ὑποσημαίνεται· τηνικαῦτα φασὶν ἀπό τινος τῶν μαθητῶν λαβόντα τὸ νῦν βλεπόμενον τοῦτο τεμάχιον τοῦ ὑφάσματος, τὰς τῶν ἱδρώτων λιβάδας ἐν αὐτῷ ἀπομάξασθαι· καὶ εὐθέως ἐκτυπωθῆναι τὴν ὁρωμένην ταύτην τῆς θεοειδοῦς ἐκείνου εἴδους ἐκτύπωσιν. ὃ τῷ Θωμᾷ παραθέμενος, μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον διὰ Θαδδαίου Αὐγάρῳ ἀποστεῖλαι προσέταξε, τὴν διὰ τῶν γραμμάτων ὑπόσχεσιν ἐκπληρῶν. μετ' οὖν τὸ ἀναληφθῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τοὺς οὐρανούς, δοὺς ὁ Θωμᾶς τῷ Θαδδαίῳ

Et hæc quidem peruulgata opinio, de eâ Saluatoris forma non manufacta, quæ impressa linteo est. Fertur verò & alia de illa narratio, nec ipsa ab specie veri remotior, aut quæ probis testibus careat. Quamobrem etiã exponam, ne me aliquis existimet alterius ignorantia, alterius fidem quærere. Nec prorsus mirum, tanto temporis spatio, haud rarò falsi aliquid in historiam commeasse. In eo quidem quod rei caput est, omnes perinde consentiunt; exque vultu Dominico, inandito modo, impressam linteo formam asserunt: de rei autem aliquo accidenti (de tempore scilicet) est dissensio. Nihil tamen istud quicquid est veritati nocet, siue prius, siue postea factum est Sic verò altera quoque se narratio habet.

Altera narratio seu traditio nõ manufactæ Christi Imaginis Edessenæ.

Cum Christus ad mortem sponte subeundam profecturus, humanam in se naturam timoris angustia mortis comite, exhiberet, atque in preces effusus esset; quando etiam Euangelicus sermo, sudorem eius velut guttas sanguinis notat defluxisse; tunc aiunt, lintei rescissam partem quam nunc videmus, cùm ex quodam discipulorum accepisset, stillantes imbres eo abstersisse; moxque, quam oculis vsurpamus diuinam hanc Imaginem illi impressam effulsisse. Pignus Thomæ depositum; ac in mandatis datum vt post Iesu in cœlos ascensum, per Thaddæum, quò sic scripta promissio impleretur, mitteret ad Augarum. 'gitur Christo Domino in cœlos recepto, dans Thomas Thaddæo non manufactam Dominici vultus effigiem, Augaro deferendam iussit. Veniens itaq; Thaddæus Edessam, mansit

primùm apud quendam eius loci Iudæum, Tobiam nomine. Necdum eum Regulo conferto sermone, quippe cùm is animo constitutum haberet, vt ex operibus Augaro innotesceret, quos ciuium ægrotos offendit, actutum curauit solo Christi inuocato nomine. Quocirca percrebrescente Christi fama (vti quidem in talibus solet accidere; res enim mirabiles & inauditæ, plures sui nuntios habent) ad Augarum quoque per vnum quendam ex proceribus Amdu nomine, aduenisse Christi Apostolum rumor perlatus est. Mox itaque, ea spe quam animo alebat, in mentem venit, eum ipsum esse, quem ei se missurum per literas Iesus promisisset. Igitur de Thaddæo plenius sciscitatus, cùm didicisset, ad se virum adduci iubet. Tobias veniens, id quod iussus erat, Apostolo significauit. Tum ille cùm se ad illum in virtute missum dixisset, postridie ad eum profectus est. Iamque in procinctu vt se eius coram oculis sisteret, eam sibi effigiem velut signum in fronte ponens atque erigens, in hunc modum ad Augarum ingressus est. Videns ille eminus venientem, lucem sibi ex eius facie emicantem, quam nulla vis oculorum ferre posset eiaculante ipsa effigie, cernere visus est. Effulgurantis itaque lucis importabili radio attonitus ac stupens, morbique casuum ac diuturnæ membrorum resolutionis velut oblitus, repente lecto excussus, resoluta membra in occursum cogit festinare. Eodem scilicet affectu, haud tamen eadem ratione, ac ij, qui in Monte Thabor, lucis fulgoribus micantem formam conspexere.

Sacræ Imaginis effulgurans species.

τὴν ἀχειρότευκτον τοῦ κυριακοῦ προσώπου ἐκμόρφωσιν, πρὸς τὸν Αὔγαρον ἐξαπέστειλε. καταλαβὼν τοίνυν ὁ Θαδδαῖος τὴν Ἔδεσσαν, ἔμεινε πρῶτον παρά τινι τῶν αὐτόθι Ἰουδαίων. Τωβίας οὗτος ὠνόμαστο· καὶ δὴ πρὸ τῶν λόγων ἀπὸ τῶν ἔργων θέλων ἑαυτὸν γνωρίσαι τῷ Αὐγάρῳ, ὁ τοῦ Χριστοῦ μαθητὴς, τοὺς ἀσθενοῦντας τῆς πόλεως ἐπικλήσει μόνῃ Χριστοῦ ἐθεράπευσεν. ὅθεν τοι τοῦ Χριστοῦ τῆς φήμης διαδοθείσης, ὅπερ ἐπὶ τῶν τοιούτων συμβαίνειν φιλεῖ· τὰ γὰρ παράδοξα τῶν θαυμάτων πολλοὺς ἔχει τοὺς περὶ αὐτῶν ἀπαγγέλλοντας, ἔφθασε καὶ πρὸς τὸν Αὔγαρον διά τινος τῶν αὐτοῦ δυναστῶν Ἀμδοῦ καλουμένου, ἡ περὶ τῆς ἐνδημίας τοῦ Ἀποστόλου Χριστοῦ ἀκοή. λογισάμενος οὖν εὐθέως ἐκ τῆς ὑποκορήσεως ἧς ἐν αὐτῷ ἤλπιζε, αὐτὸν ἐκεῖνον εἶναι, ὃν ἀποστεῖλαι πρὸς αὐτὸν ὁ Ἰησοῦς διὰ τῆς γραφῆς ἐπηγγείλατο· καὶ παρ' αὐτοῦ τηλαυγέστερον τὰ περὶ τοῦ Θαδδαίου μαθὼν, ἀγαγεῖν αὐτὸν διωρίσατο. ὁ οὖν Τωβίας ἐλθὼν, ἐγνώρισε τοῦτο τῷ Ἀποστόλῳ. κἀκεῖνος ἐν δυνάμει πρὸς αὐτὸν ἀποσταλῆναι εἰπὼν, τῇ ἑξῆς πρὸς τὸν Αὔγαρον παρεγένετο. ἐν ᾗ δὲ τῷ μέλλειν κατὰ πρόσωπον αὐτῷ ἐμφανίζεσθαι, ἐπὶ τοῦ ἰδίου μετώπου ὡς ἀναστηλώσας τὴν τοιαύτην ἐμφέρειαν, οὕτως εἰσῄει πρὸς Αὔγαρον. ὁ δὲ πόρρωθεν αὐτὸν προσιόντα ἰδὼν, κρεῖττον ὄψεως φῶς ἀκτινοβολοῦν ἀπὸ τῆς ὄψεως αὐτοῦ ἐξαγόμενον ἐδόκει ὁρᾶν, ὃ τὸ ἐπικείμενον ἠφίει ὁμοίωμα. ὅθεν τῷ ἀφορήτῳ τῆς ἀστραπτούσης λαμπηδόνος καταπλαγεὶς, καὶ ὥσπερ ἐν λήθῃ τῶν περὶ αὐτὸν συμπτωμάτων γενόμενος καὶ τῆς πολυχρονίου παρέσεως τῶν μελῶν, τῆς κλίνης ἀθρόως ἀνέθορε, τρέχειν ἐβιάζετο· τὸ αὐτὸ πάθος καὶ πρὸς ἑαυτὸν τὰ παραλελυμένα μέλη παθὼν πρότερον τοῖς ἐν τῷ ὄρει Θαβὼρ τὴν ἀστράψασαν μορφὴν θεασαμένοις.

Λαβὼν τοίνυν ἀπὸ τοῦ Ἀποστόλου τὸ τοιοῦτον ὁμοίωμα, καὶ σεβασμίως αὐτὸ τῇ κεφαλῇ περιθεὶς καὶ τοῖς χείλεσι, καὶ οὐδὲ τῶν ἄλλων τῶν τοῦ σώματος μερῶν στερήσας τῆς τοιαύτης προσψαύσεως, ἔγνω παραυτίκα τὰ μέλη πάντα θαυμασίως ἀναρρωννύμενα, καὶ τὴν εἰς τὸ κρεῖττον μεταβολὴν εἰσδεχόμενα. καὶ τὴν λέπραν ἐκκαθαιρομένην καὶ ἀποφεύγουσαν, εἰ καὶ ἔτι ἐν τῷ μετώπῳ λείψανόν τι ταύτης μικρὸν ὑπελείπετο. διδαχθεὶς οὖν τὸν τῆς ἀληθείας λόγον τότε πρὸς τοῦ Ἀποστόλου τρανέστερον, καὶ περὶ τῶν παραδόξων τοῦ Χριστοῦ θαυμάτων· τῶν τε θείων παθῶν, καὶ ταφῆς, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀναλήψεως· καὶ ὁμολογήσας ἀληθῆ Θεὸν τὸν Χριστὸν, περὶ τῆς ἐν τῇ ὀθόνῃ ἐκτυπώσεως τῆς μορφῆς ἐπυνθάνετο, ἐπείπερ αὐτὴν ἀκριβέστερον ἐπιδὼν, ἐπεγίνωσκεν οὐ διὰ χρωμάτων ὑλικῶν τὴν σύστασιν ἔχουσαν, καὶ τὴν ἐν αὐτῇ κατεπλήττετο δύναμιν, ὑφ' ἧς παραδόξως ἐξανέστη τῆς κλίνης, καὶ συνηριθμεῖτο τοῖς ὑγιαίνουσι. πρὸς ταῦτα ὁ Θαδδαῖος τὸν καιρὸν τῆς ἀγωνίας ἐδήλου, καὶ τὴν ἐκ τῶν ἱδρώτων ἀχρωμάτιστον μόρφωσιν· καὶ τὴν τῆς ἀφίξεως πρὸς αὐτὸν Κυρίου εἰσήγησιν· καὶ τἆλλα ὅσα τὸ φθάσαν τῆς ἱστορίας ἐδήλωσεν.

Accepta itaque ab Apoſtolo effigie, ac venerantis ſpecie, capiti impoſita, oculiſque & manibus & labiis, ac corporis membris reliquis, nullo eius muneris experte, adhibita, ſtatim membra omnia roborari cognouit, ac meliore ſtatu mutari: mundari lepram ac cedere, tametſi eius quoddam veſtigium ac reſiduum manſit in fronte. Doctus igitur ab Apoſtolo paulò clarius veritatis doctrinam; déque inauditis Chriſti miraculis, diuiniſque paſſionibus, & ſepultura, & reſurrectione à mortuis, atque in cœlos receptione inſtitutus; cùm Deum verum Chriſtum confeſſus eſſet, de forma linteo expreſſa ſciſcitabatur; quòd nimirum eâ diligentius inſpecta, nullis terrenis conflatam coloribus cognouerat, eiuſque ſtupebat virtutem, quòd ſic grandi miraculo ac inſolito lectulo excilierat, ac incolumi ſanitate gaudebat. Ad hæc Thaddæus, mortis timorem ac anguſtias declarare, exque ſudoribus nullo colorum pigmento expreſſam effigiem docere; Domini iuſſu ad eum acceſſiſſe, & alia quæcunque iam ſuperior decurrit hiſtoria.

Imaginis veneratio, morbique depulſio.

Ὡς οὖν ἀπό τε τῆς ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐπιθέσεως τῶν χειρῶν τοῦ Θαδδαίου τὰ λυποῦντα τὸ ὑπεξίστατο, καὶ τὰ παρειμένα ὡσανεὶ συνεσφίγγετο· καὶ ἡ ἀμορφία διεσκεδάννυτο, καὶ πάντα πρὸς ὑγείαν ἐπεῖχε, τῷ πανταχόθεν θάμβει ὁ Αὔγαρος συνεχόμενος, Ἐπ' ἀληθείας ἔφη, γνήσιος εἶ μαθητὴς Ἰησοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ δίχα φαρμάκων καὶ βοτανῶν θεραπεύοντος. καὶ ἐγὼ τοσοῦτον τῇ

Poſtquam igitur ex his pariter, manuumque Apoſtoli in nomine Ieſu Chriſti impoſitione, dolorum vis ſenſuſque aufugerat, membraque reſoluta velut adſtringebantur; atque oris deformitas euaneſcebat, cunctaque ad ſanitatem currebant; rei tantæ compendio vndique Augarus admiratione defixus: Verè, inquit Ieſu Filij Dei diſcipulus es, qui curabat abſque medicamentis & herbis. Ac ego, tanta illi amoris vi ac fide deuinctus

ſum, vt ſi per eminentem Romani Imperij poteſtatem, per quam ſubditis nefas bello inuicem laceſſere, bellum mouere liceret, in Iudæos fortè, qui Domino crucem poſuerunt, arma mouiſſem, mihique ſubegiſſem. Nunc autem quòd & mortem ſponte ſubiiſſe doceor, ac certus ſum, fore vt niſi voluiſſet, nunquam ſibi improba turba, ſubiiceret, nihil vltra quæro ac diſputo. Solum diuino baptiſmate luſtrari rogo, ac cum tota familia Chriſti neceſſitudinis iura obire, meque illi addicere. Multis itaque antè patratis miraculis cunctiſque quibus laborabant ægritudinibus ſanatis, in quibus qui proximè Augarũ claritate ac potentiâ attinebat, ipſe quoque podagra qua laborabat, ſanatus, muneris præco erat, cum curaſſet Chriſto Apoſtolus, diuinę Augarũ piſcinę admouit; legitimiſque in eo peractis, ipſum ac vxorẽ, liberoſq; cũ tota familia tinxit; exiitq; è diuina hac expiationis vnda mundus totus ac ſanus, lepra repente abolita, iiſque ipſis paucis reliquiis, quibus Viri frons inuſta perſtiterat.

περὶ αὐτὸν στοργῇ καὶ πίστει συνδέδεμαι, ὥστε εἰ μὴ ἐδεδίειν τὸ ὑπερέχον τῆς Ῥωμαίων δυνάμεως, οἷς τοὺς ὑπὸ σφᾶς οὐκ ἀνέχονται κατ' ἀλλήλων ἐφίζεσθαι, τάχα ἂν κατὰ τῶν σταυρωσάντων τὸν Κύριον Ἰουδαίων ὅπλα ἐκίνησα, καὶ παρεστησάμην αὐτούς. νῦν δὲ ἐπεὶ καὶ τὸ πάθος αὐτοῦ ἐδιδάχθην ἑκούσιον, καὶ πέπεισμαι ὡς εἰ μὴ βουληθέντος αὐτοῦ κατίσχυσαν οἱ ἀγωνισάμενοι κατ' αὐτοῦ, οὐδὲν περαιτέρω περιεργάζομαι. δέομαι δὲ καὶ τοῦ θείου βαπτίσματος ἀξιωθῆναι, καὶ πανοικὶ προσοικειωθῆναι, καὶ ἀνατεθῆναι τῷ δεσπότῃ Χριστῷ. Πολλὰ τοίνυν ἐπιτελέσας θαύματα πρότερον ὁ τοῦ Κυρίου Ἀπόστολος, καὶ πάντας ἀπὸ τῶν νόσων αὐτῶν ἰασάμενος, ἐν οἷς ἦν καὶ ὁ πρῶτος τὴν περὶ αὐτοῦ φήμην τῷ Αὐγάρῳ ἀνενεγκών, ὃν ποδαγρικοῦ παθήματος ἠλευθέρωσε, προσάγει τῇ θείᾳ κολυμβήθρᾳ τὸν Αὔγαρον· καὶ τὰ νενομισμένα ἐπ' αὐτῷ τελέσας, ἐβάπτισεν αὐτόν τε καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα, καὶ πάντας τοὺς ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ ἐξῆλθεν ἀπὸ τοῦ θείου τούτου τοῦ καθαρσίου ὕδατος, καθαρὸς ὅλος καὶ ὑγιής, ἀφανισθέντος ἀθρόως καὶ τοῦ ὑπολειφθέντος μικροῦ λειψάνου τῆς λέπρας ἐν τῷ μετώπῳ αὐτοῦ.

Sanctæ Imaginis noua veneratio Edeſſæ.

Hinc factum vt Regulus, qui eius Dominicæ Effigiei ac formæ, modis omnibus venerator cultorque exiſteret, hoc quoque ad aliam eius religionem adiiceret. Nempe, antiquis Edeſſæ ciuibus dij cuiuſdam Græcanicæ ſuperſtitionis ſtatua, pro publica Vrbis porta erecta erat, cui neceſſe cultum adhibere, quiſquis demum in vrbem ingredi vellet; certaque ſimulacro vota reddere, ac tum libero aditu vrbis vicos plateaſque percurrere. Suſtulit itaque Augarus ac aboleuit, inque eius baſis loco, ad aſſerem glutino compactam hancce non

Ἐντεῦθεν παντοίως τιμῶν καὶ σεβόμενος τὸ τοιοῦτον ὁμοίωμα τῆς τοῦ Κυρίου μορφῆς, καὶ τοῦτο τοῖς ἄλλοις ὁ τοπάρχης προστέθεικεν· ἐκ τῶν παλαιῶν τῆς Ἐδέσης πολιτῶν τε καὶ οἰκιστῶν τῶν ἐπισήμων. τινὸς [δὴ] ἑλληνικῶν θεῶν ἄγαλμα πρὸ τῆς δημοσίας πύλης τῆς πόλεως ἀνεστήλωτο, ᾧ πάντα τὸν εἰσιόντα τοῦ ἄστεος γενέσθαι βουλόμενον ἀναγκαῖον ἦν προσκυνῆσαι, καὶ νενομισμένας τινὰς εὐχὰς ἀποδοῦναι, καὶ οὕτως ἔχεσθαι τῶν ἐν τῇ πόλει ὁδῶν τε καὶ ἀγυιῶν. τοῦτο οὖν τότε ὁ Αὔγαρος καθελών, καὶ ἀφανισμῷ παραδούς, εἰς

τὸν τῆς ἐκείνου στάσεως τόπον, τὴν ἀχειροποίητον ταύτην εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπὶ σανίδος κολλήσας, καὶ διὰ τοῦ νῦν φαινομένου χρυσοῦ καλλωπίσας, ἀνέστησεν· ἐπιγράψας ἐν τῷ χρυσῷ ταῦτα τὰ ῥήματα. Χριστὲ ὁ Θεός, ὁ εἰς σὲ ἐλπίζων οὐκ ἀποτυγχάνει ποτέ. ἐθέσπισέ τε πάντα τὸν διὰ τῆς πύλης ἐκείνης διέρχεσθαι μέλλοντα, ἀντὶ τῆς παλαιᾶς ἐκείνης στήλης τῆς ἀχρήστου καὶ ἀνωφελοῦς, τὸ πρέπον σέβας, καὶ τὴν ὀφειλομένην προσκύνησιν καὶ τὴν τιμὴν ἀπονέμειν τῇ πολυθαυμάστῳ θαυματουργῷ τοῦ Χριστοῦ εἰκόνι· καὶ οὕτως εἰς τὴν πόλιν Ἐδέσσης εἰσέρχεσθαι. καὶ διετηρήθη τοιοῦτον τοῦ ἀνδρὸς εὐσεβείας ἐπὶ προχάραγμα καὶ ἀνάθημα, μέχρι τῆς ἐν τῷ βίῳ παρουσίας, αὐτοῦ τε τοῦ Αὐγάρου, καὶ τοῦ τούτου υἱοῦ, ὃς τῆς βασιλείας καὶ τῆς εὐσεβείας τῆς πατρικῆς καθίστη διάδοχος. ἀλλ' ὁ τούτων υἱός τε καὶ υἱωνός, τῆς μὲν πατρῴας καὶ παππῴας ἀρχῆς διάδοχος γέγονεν· οὐ μὴν καὶ τῆς εὐσεβείας κληρονόμος ἐγένετο· ἀλλ' ἀπελάκτισεν ὡς εἰπεῖν τὴν εὐσέβειαν, καὶ πρὸς τοὺς δαίμονας καὶ τὰ εἴδωλα ηὐτομόλησε. διὸ καὶ ὥσπερ τὸ ἀνταπόδομα τοῖς δαίμοσιν ἀνταποδιδοὺς, ἐβουλήθη, ἐπεὶ ὁ πάππος αὐτοῦ τὴν εἰδωλικὴν ἐκείνην στήλην ἀφανισμῷ παραδέδωκε, τὴν αὐτὴν καταδίκην καὶ τῇ τοῦ Κυρίου εἰκόνι προσαγαγεῖν. ἀλλ' οὐκ ἐπέτυχε τῆς θήρας ὁ δόλιος. ὁ γὰρ ἐπίσκοπος τοῦ τόπου τοῦτο προγνοὺς, τὴν ἐνδεχομένην ἔθετο πρόνοιαν. καὶ ἐπεὶ ὁ τόπος καθ' ὃν ἀνέκειτο ἡ εἰκὼν, κυλινδροειδὲς ἡμισφαιρίου σχῆμα διέσωζεν, θρυαλλίδα πρὸ τῆς εἰκόνος ἅψας, καὶ κέραμον ἐπιθεὶς, εἶτα ἔξωθεν τιτάνῳ καὶ πλίνθοις ὀπταῖς ἀποφράξας τὸ

manufactam Domini nostri Iesu Christi Imaginem, quo nunc auro conspicua est, egregiè ornatam, statuit; his illi auro inscriptis verbis: CHRISTE DEVS, QVI IN TE SPERAT, NVNQVAM VOTO FRVSTRATVS ABIT: sanxitque, vt quisquis per eam portam transiturus esset, pro veteri illo nullius frugis simulacro prorsusque inutili, conuenientem cultum atque debitam adorationem honoremque, multiplici titulo admirandæ miraculorum effectrici Christi Imagini redderet; sicque Edessam vrbem amicus hospes intraret. Durauitque pietatis Viri monumentum hoc ac sacra deuotio, quandiu tum ipse Augarus, tum filius, vita superstes fuit; quippe qui paterni regni pariterque pietatis successor extiterit. Horum nihilominus filius neposque, fuit is quidem patris auique principatus successor; at nihil horum pietatis hæres; quin in pietatem, vt sic dicam, calcibus insultauit, atque ad dæmonas ac simulacra desciuit. Velut itaque dæmonibus vicem redditurus, hoc secum statuit, vt sicut auus superstitiosum simulacrum illud aboleuerat, sic ipse Dominicam Imaginem eidem noxæ subiiceret. Haud tamen vir dolo confertus, prædæ compos effectus est. Loci namque Episcopus, rei præscius, quantam licuit, ipse curam adhibuit. Quodque locus vbi Imago collocata erat, cylindri speciem referentis hæmisphærii figuram retinebat, accensa ante Imaginem lucerna, tegulaque imposita, ac tum deforis calce coctisque lateribus obstructo loci ambitu, quicquid eius erat in planam superficiem redegit: ereptaque oculis forma inuidiæ habita, à consilio ac molitio-

Detracta Imagini religio Abgari nepote tyranno; ipsa incolumis seruata.

ne impius homo abstitit. Ideo autem, vt arbitror, ante Imaginem testa Sacerdoti collocata est, ne ex situ ædificij, & calcis humore, cui impressa Imago linteum putredinis aliquid contraheret, ac per longiores temporis moras damnum acciperet.

ἐμβαδὸν, εἰς ὁμαλὸν ἐπιφάνειαν τὸ τεῖχος ἐπηύθυνε· καὶ ἐν τῷ μὴ ὁρᾶσθαι τὴν φθονουμένην μορφὴν ἀπέστη τῆς ἐγχειρήσεως ἐκεῖνος ὁ δυσσεβής. ὁ δὲ κέραμος διὰ τοῦτο οἶμαι πρὸ τῆς εἰκόνος τεθεῖται πρὸς τοῦ ἱερέως διώριστο, ὡς ἂν μή τινα σῆψιν ἐκ τῆς ἀπὸ τῆς οἰκοδομῆς εὐρῶτος, καὶ τῆς ἐκ τῆς τιτάνου νοτίδος ἐγγενέσθαι ἐν τῇ ὑποδοχῇ τῆς εἰκόνος, καὶ τὴν ἐκ τοῦ χρόνου βλάβην προσδέξηται.

Multum interim temporis, annorum longa serie fluxerat, exque memoria hominum & quòd erecta sacra hæc Imago, & quòd occultata, effluxerat. Vbi itaque suis, Chosroës Persarum Rex temporibus, Asiæ ciuitates diripiens, Edessam quoque petierat, valloque posito nullam non mouebat machinam, ac quicquid exqugnandæ ciuitati videbatur diligenter instruxerat (constructis nimirum omnis generis tormentis, quibus tela iaceret, muros quateret, portas effringeret) Edesseni in tantum adducti periculum, ipsi quoque qua se via tuerentur aciemque opponerent, seriò cogitare. Missi legati & ad Romanorum Duces, à quibus sociali munere auxilia impetrarent. Romani tunc exercitus Prætor Helio mani erat, ipseque à se, Persarum vi acie laborans, auxiliares copias sufficere Edessæ ciuibus non valebat, animos tamen scriptis literis addebat, Dominique Epistolam ac veram in eâ sententiam, quâ incolumis futura, nullaque hostium vi expugnanda ciuitas & ferretur & crederetur, in memoriam reuocabat. Porro Persæ, tum palam adoriebantur, tum ex insidiis structisque cuniculis ciuitatem tentabant. Procul igitur occepta scrobe, per subterraneos meatus sibi in vrbem aditum struebant. Cumque iam

Edessena Chosrois obsidio, diuinæ Imaginis miraculo soluta: qua de re Euagr. aliique.

Ἐῤῥει τοίνυν ὁ χρόνος διὰ μέσου πολὺς, καὶ τῆς ἐξ ἀνθρώπων μνήμης ἀπεῤῥύη καὶ ἡ ἀνάστηλωσις τῆς ἱερᾶς ταύτης εἰκόνος, καὶ ἡ ἀπόκρυψις. ὡς οὖν ἐν τοῖς οἰκείοις καιροῖς, Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς, τὰς τῆς Ἀσίας πόλεις πορθῶν καὶ πρὸς τὴν Ἔδεσσαν ἐφθάσε, καὶ περὶ ταύτης περιξάμενος χάρακα πᾶσαν μηχανὴν ἐκίνει, καὶ ἅπαν τὸ πρὸς ἅλωσιν πόλεως ἐπιτήδειον ὄργανον ἐξηρτύετο· ἐτεκταίνετο δὲ πάντα τὰ πρὸς ἀφέσεις βελῶν, κατασείσεις τειχῶν, διατρήσεις πυλῶν· ἐν τοσούτῳ κινδύνῳ οἱ Ἐδεσσηνοὶ γεγονότες, ἐπενόουν μὲν τὰ δυνατὰ καὶ αὐτοὶ πρὸς τὴν ἀντιπαράταξιν· διεπρεσβεύοντο δὲ περὶ βοηθείας, καὶ πρὸς τοὺς Ῥωμαίων στρατηγούς. Ἡλίων δὲ ὁ τότε τῶν Ῥωμαϊκῶν στρατευμάτων ἡγούμενος, καὶ καθ' ἑαυτὸν ὑπὸ τῶν πολεμίων πονούμενος, τοῖς ἐν Ἐδέσσῃ συμμαχίαν πέμψαι οὐχ οἷός τε ἦν. διὰ γραμμάτων δὲ διεθάρρυνε, τῆς τοῦ Κυρίου ἀναμιμνήσκων ἐπιστολῆς, καὶ τῆς ἀψευδοῦς ἐν αὐτῇ ἀποφάσεως, δι' ἧς ἀπόρθητον τηρεῖσθαι τὴν πόλιν καὶ λέγεται, καὶ πιστεύεται. οἱ δὲ Πέρσαι μετὰ τῆς ἐμφανοῦς ἐπιθέσεως, καὶ τὰ ἀφανῆ ἐπενόουν ἐπιβουλεύματα· καὶ πόῤῥωθεν ὀρύττειν ἀρξάμενοι, δι' ὑπονόμων ἔνδον γενέσθαι τῆς πόλεως ἐπι- [illegible] χράζοντο. ὡς δὲ ἤδη οἱ ὕφυδροι

κολυμβηταὶ

κο[illegible] τοῦ τείχους ἐντὸς ὑπὸ γῆν, ἐκ τοιαύτης αἰτίας καταφανὴς τοῖς ἔνδον τοῦ τείχους . . . . . χαλκέα οἰκεῖν, οὗ τὰ κατὰ τὴν οἰκίαν αἰωρούμενα σκεύη χαλκᾶ ἠχὴν ἀπετέλει, τῶν Περσῶν ὑπὸ γῆν κοπτόντων, καὶ ἐκφορούντων τὸν χοῦν. ἐν ἀμηχανίᾳ οὖν καὶ τῇ ἐσχάτῃ ἀπογνώσει οἱ τῆς πόλεως καταστάντες, πρὸς τὸν Θεὸν καταφεύγουσι, καὶ μετ' ὀδύνης καρδίας, καὶ δακρύων ἐξεζήτουν αὐτόν. φαίνεται τοίνυν διὰ νυκτὸς τῷ Ἐπισκόπῳ· Εὐλάλιος δὲ οὗτος ἦν, γυνή τις εὐσταλὴς καὶ σεβασμία κρείττων ἢ κατὰ ἄνθρωπον, ὑποτιθεμένη αὐτῷ τὴν ἀχειροποίητον εἰκόνα λαβεῖν τοῦ Χριστοῦ, καὶ λιτανείαν μετ' αὐτῆς ποιήσασθαι· καὶ ταύτης δεῖξαι τὸν κύριον τὰ θαυμάσια αὐτοῦ. ὁ δὲ Ἐπίσκοπος πρὸς ταῦτα ἀγνοεῖν ἔλεγεν εἰ ἔστιν ὅλως, εἴτε παρ' αὐτοῖς, εἴτε παρ' ἄλλοις ποῦ ἡ τοιαύτη εἰκών. τότε λέγει πρὸς αὐτὸν ἡ ἐν γυναικείῳ φαινομένη τῷ σχήματι, ὅτι ἐπάνω τῆς πύλης τῆς πόλεως ἐν τῷ τόπῳ διὰ τόνδε τὸν τρόπον ἡ τοιαύτη εἰκὼν κέκρυπται.

Ἕωθεν οὖν ὁ Ἐπίσκοπος τῇ ἐναργείᾳ τῆς ὄψεως πεπεισθεὶς, μετὰ λιτῆς πρὸς τὸν τόπον ἦλθεν, καὶ διερευνησάμενος εὗρε τὴν θείαν ταύτην εἰκόνα ἀδιαλώβητον· καὶ τὴν θρυαλλίδα ἐν τοῖς τοσούτοις μὴ ἀποσβεσθεῖσαν ἔτεσιν· καὶ ἐν τῷ πρὸς φυλακὴν ἐπιτεθέντι πρὸ τοῦ λύχνου κεράμῳ ἐκτυπωθὲν ἕτερον ὁμοίωμα τοῦ ὁμοιώματος· ὃ καὶ μέχρι τοῦ νῦν ἐν Ἐδέσσῃ τυγχάνει σωζόμενον. λαβὼν οὖν μετὰ χεῖρας τὸ θεῖον τοῦτο τοῦ Θεανθρώπου Χριστοῦ ἀπεικόνισμα, καὶ ἐπὶ κρείττονος ἐλπίδος γινόμενος, ἔρχεται κατ' ἐκεῖνον τὸν τόπον καθ' ὃν οἱ Περ-

iam perinde ac quidam vrinatores intra muros ex cunibulis successissent, contigit insidias detegi per talem occasionem. Nimirum illa in vrbis parte faber quidam ærarius intra muros ædes habebat, cuius vasa ænea in domo sublimia, Persis sub terra tundentibus ac puluerem egerentibus, sonitum emiserunt. Itaque consilij inopes, & ad extremam ciues desperationem redacti, ad Deum confugiunt; ipsumque cordis dolore ac lacrymis exquirunt. Porrò noctu mulier quædam ornato habitu, grauique ac modesta specie, præstantior denique quàm vt homo videretur, Episcopo (Eulalio huic nomen erat) apparet; monetque accepta non manufacta Christi Imagine, cum ipsa supplicationem habeat; foréque omnino vt Dominus portenta sua ac miracula ostendat. Aiebat Episcopus, nescire se prorsus, an omnino talis Imago apud ciues aliosve vllos extaret. Tunc ad illum, quæ muliebri habitu se illi conspicuam fecerat. Supra portam Vrbis tali loco per talem modum imaginem absconsam, subjecit,

Manè igitur Episcopus, aperta visione fretus cum supplicatione ad locum conueniens, scrutansque, integram ac incolumem diuinam offendit Imaginem; lucernam quoque tot retro annis inextinctam: inque testa ante lucernam eius conseruandæ caussa imposita, alteram Imaginis expressam effigiem: quæ ipsa hactenus Edessæ incolumis est. Sumpta igitur in manus diuina Christi Dei hominis effigie, præfidentior Episcopus ad locum pergit, vbi Persæ ex vasorum ære sonantium tinnitu cuniculum struentes deprehensi erant: cumque ciues & ipsi intus aggressi, in alios

Imaginis diuina visione inuentio, ac per eam hostiũ strages.

alij incurrissent, in ignem ipsis in hostes paratum ex lucerna stillantes, inque Persas in cuniculo repertos mittentes, omnes perdiderunt. Iisque demum liberati insidiis, eodem molimine etiam machinas extra muros positas adorsi, has quoque repente combusserunt: pluresque in eis militares viros sustulerunt. Iamque adeo aucti fiducia, crebros etiam è muris mittentes lapides, eorum jactu ac rotatione, impuri exercitus Duci, aliisque non paucis, necem consciuerunt. Neque id modò, sed & extrinsecus à Persis aduersus ciues accēsam pyram, quam olearum, multarumque aliarum, quas immiserant, arborum infinita aggesta materia alebat, in ipsos qui accenderant, diuinæ virtus Imaginis benignè opitulantis, conuertit. Cùm enim eam è muro desuper suis ipse manibus Eulalius explicans, ciuitatem obiret, vt ad eum locum successit, obortus repente ventus validus, in eos qui rogum accendebant, flammam conuertit; hæcque illos persecuta, haud secus ac olim Chaldæos, incendit.

σαι διορύττοντες ἀπὸ τῶν χωμάτων ἄχρι κατάγαιοι καθεστήκεσαν. καὶ ἀρξάμενοι ἔνδοθεν ὀρύττειν τῆς πόλεως, ὡς ἐγγὺς ἀλλήλων ἐγένοντο, ἀπὸ τῆς λυχνίας ἐκείνης ἔλαιον ἐπιστάξαντες εἰς τὸ κατὰ τῶν πολεμίων αὐτοῖς εὐτρεπισμένον πῦρ, καὶ κατὰ τῶν ἐν τῷ ὑπονόμῳ Περσῶν ἀφέντες, πάντας ἀπώλεσαν· καὶ τῆς ἐντεῦθεν ῥυσθέντες ἐπιβουλῆς, πρὸς τὰς ἐκτὸς τοῦ τείχους μηχανὰς τὴν ὁμοίαν πεῖραν προσενεγκεῖν, καὶ ταύτας ἀθρόως κατέφλεξαν· καὶ πολλοὺς τῶν ἐν αὐτοῖς πολεμίων ἀνάλωσαν. ἤδη δὲ ἀνατεθαρρηκότες, καὶ λίθων ἀφέσεις συχνῶν ἀπὸ τῶν τειχῶν ἐποιοῦντο, ὑφ' ὧν καὶ τὸν στρατοπεδάρχην τοῦ μιαροῦ στρατεύματος συνέβη πεσεῖν, καὶ ἄλλους πολλοὺς σὺν αὐτῷ. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὴν ἔξωθεν ὑπὸ τῶν Περσῶν ἀναφθεῖσαν κατὰ τῶν ἔνδον πυρὰν, ἣν ἄπειρος ὕλη ἐλαιῶν τε καὶ ἄλλων συχνῶν κατατεθέντων δένδρων ὑπέτρεφε, κατ' αὐτῶν ἐγείρεσθαι ἡ τοῦ συμμάχου θείας εἰκόνος . . . ὡς γὰρ ἄνωθεν Εὐλάλιος τὰς οἰκείας τοῦ τείχους ἐφαπλώσας ταύτην παλάμαις τὴν πόλιν διῄει, ἐξαίφνης ὡς κατὰ τὸν τόπον τοῦτον ἐγένετο, βίαιος ἄνεμος ἐξεγερθεὶς, κατὰ τῶν ἀναλεγόντων τὴν τοιαύτην πυρκαϊὰν τὴν φλόγα ἐπέστρεψε· καὶ ἐδίωκε τούτους, καὶ ἐνεπύριζεν, ὡς τοὺς Χαλδαίους τὸ πρίν.

Syrorum traditionis testes.

Non hæc aures mulcendi causa, aut veritati fucum faciendi nullis testibus à nobis conficta narratio: quinimmò tres simul Patriarchæ, Iob Alexandrinus, Christophorus Antiochenus & Basilius Hierosolymitanus ipsi scripserunt, atque hæc sic se habere datis Theophilo Imperatori litteris, qui sacrarum violator Imaginum esset, palàm fecerunt: tum nimirum, cùm longa dissertatione diuinas Imagines sanctas astruentes ac vene-

Ταῦτα οὐκ ἀμάρτυρος ὁ λόγος εἰς ἡδονὴν ἀκοῆς, ἢ ἀπάτην παρ' ἡμῶν συμπλασθεὶς, ἀλλὰ καὶ τρεῖς ὁμοῦ πατριάρχαι, Ἰὼβ Ἀλεξανδρείας, Χριστοφόρος Ἀντιοχείας, καὶ Βασίλειος Ἱεροσολύμων αὐτοὶ γράψαι, καὶ οὕτως ἔχειν ταῦτα γράψαντες ἐγνώρισαν, Θεοφίλῳ γράψαντες τῷ βασιλεῖ τὰς ἱερὰς εἰκόνας ἐξυβρικότι· ὅτε διὰ πολλῶν ἀποδεικνύοντες τὸ τῶν θείων εἰκόνων ἱερὸν καὶ σεβάσμιον, καὶ περὶ τούτου

Ἄβγαρον· καὶ ἔξεστι βουλομένῳ τὴν ἱστορίαν ἐκείνην ἐπὶ πολὺ ἀναλέξασθαι, καὶ περὶ τούτου μαθεῖν. ἀλλὰ καὶ τῇ Εὐαγρίου ἐκκλησιαστικῇ ἱστορίᾳ εἴ τις φιλοπόνως ἐντύχῃ, ἔγνω πάντως οἷα περὶ τῆς ἱερᾶς ταύτης εἰκόνος κατὰ τὸν τέταρτον λόγον φησί. ἀναγράφει γὰρ, ὡς μετὰ τῶν ἄλλων ὁ Χοσρόης καὶ τοῦτο πεποίηκε, θέλων ἀριφανῶς ἐλέγξαι ψευδῆ τὸν παρὰ Χριστιανοῖς θρυλλούμενον περὶ τῆς τοιαύτης πόλεως λόγον, ὡς εἴη ἀπόρθητος. ξύλων γάρ τι μέγα χρῆμα, καὶ πλῆθος ἄπειρον ἐν βραχεῖ τῇ τοῦ στρατεύματος πολυχειρίᾳ συναθροίσας ἐξ ἐπιτάγματος, καὶ ταῦτα κατὰ δύο τείχεις περιθέμενος κύκλῳ τῆς πόλεως· εἶτα χοῦν κατὰ τὸ μέσον ἐμβαλὼν, καὶ ἀντιμέτωπον ἄλλο τεῖχος οἰκοδομῶν, ὑψηλότερος ἐγένετο τῶν τῆς Ἐδέσσης τειχῶν, καὶ ὡς ἐξ ὑπερδεξίων τὰ βέλη κατὰ τῶν ὑπὲρ τῆς πόλεως προκινδυνευόντων ὅσον οὔπω ἀφίεσθαι ἔμελλεν· ὅπερ οἱ Ἐδεσσηνοὶ ὡς ὄρος ἀντικρὺ τῶν τειχῶν ὁρῶντες ἐξαιρόμενον, δι' οὗ ὡς ἐκ τοῦ ἰσοπέδου τοὺς πολεμίους εἰσελθεῖν τοῦ ἄστεος ἤπειγον, ἐν ἀμηχανίᾳ καθεστῶτες, ἀντιμηχανώμενοι δὲ ὅμως τὰ δυνατὰ καὶ αὐτοὶ, διώρυγμα ἐπιχειρήσειαν περὶ τοῦ νεοσύστου ἐκείνου τείχους ὀρύξασθαι,
4 ὡς ἂν οἱ δυνηθεῖεν 4 τὰ περὶ τοῦ χώματος ὑφάψαι σταυρώματα, πρὸς τὴν διώρυχα τὸν χοῦν ὑποσπάσαντες, καὶ οὕτως τὸ μέγα τεῖχος ἐκεῖνο δῆθεν ἐξ ὀνείρου ἀναπλασθὲν, ἐπίπεδον κατενεχθῇ καὶ διαρρυῇ. ἐπεὶ δὲ τὸ μὲν ὄρυγμα διήνυστο, πῦρ δὲ τοῖς ξύλοις ἀφιέντες τοῦ σκοποῦ διημάρτανον, μὴ δυναμένου τοῦ πυρὸς διὰ τὸ συμπεπιλημένον ἔνδον εἶναι τὸν χοῦν, καὶ τὰ ξύλα ἔτι χλωρὰ καιροῦ τινὸς δίχα τοῦ

ratione habendas, istud quoque tractarunt: ac licet nosse, si quis in multos versus fusam eam Epistolam vt legat, in animum induxerit. Sed & Euagrij Ecclesiasticam Historiam si quis attentius legerit, planè nouit quanta ille de hac sacra Imagine libro quarto scribit. Refert enim, quòd cùm aliis de causis, tum ob eam potissimum rationem Chosroës exercitum duxerit, vt apertè ostenderet esse falsum, quod de Edessa ciuitate Christiani iactabant, eam nulla vi expugnari posse ac diripi. Cum enim ingentem lignorum struem & penè infinitam confertâ militum manu succedanea ope opus maturantium, breui coëgisset, atque his fixo vallo, duplici quasi muro ciuitatem cinxisset, tumque mediam aream ingesta humo oppleuisset, inde surgens oppositus murus alius, ciuitatis mœnibus altior effectus est, moxque futurum erat, vt è superioribus in præsidiarios iaculorum imber deplueret. Vident itaque ciues ex aduerso murorum velut montem assurgere, per quem hostes, quasi ex plano haud incerto euentu in vrbem ingressuri essent. Quanquam igitur vix non consilij inopes, ipsi quoque quanta facultas aduerso molimine; obiectam nouo illi muro fossam ducere; in cuius voraginem, si modò liceret communientes vallos succendere, detracto aggere, ea ratione velut insomnio repente enatum ingentem illum murum pessundarent ac solo æquarent. At vbi absoluta quidem fossa est, ignisque lignis immissus, nec ex voto res succedebat, quòd humo constipata, ac cùm ligna adhuc viridia essent, non poterat ignis absque nouo pabulo vallum corripere; in fossam re-

Euagrio paulò aliter narrata historia.

center ductam ſacra hæc adducta Imago, exque illa ſanctificata aqua aſperſo rogo, effectum eſt, vt flamma viuax atque efficax exiret; fuitque igni olei loco, aqua; diuina virtute his, qui rem moliti erant, propitia: indeque ſuccenſa flamma abſumptum, quicquid obuium erat. Tunc ergo Perſarum Rex vrbis expugnandæ ſpe amiſſa, ac cum non lateret vnde ciuibus corrogata auxilia, ad conuentiones adjecit animum, percuſſoque pacis fœdere in ſuam regionem reuerſus eſt.

ὕλης ἐμπεπρεσ ἐξάψαι, τὴν ἱερὰν ταύτην εἰκόνα εἰς τὴν γεώτευκτον ἐκείνην τάφρον εἰσαγαγόντες, καὶ ὕδωρ ἐκ ταύτης καθαγιάσαντες, καὶ ἐπὶ τῇ πυρᾷ, καὶ τοῖς ξύλοις περιρράναντες, ἐνεργὸν ἠφίεσαν τὸ πῦρ καταπεριεξάπτοντο· καὶ τῇ πίστει τῶν δεδρακότων τῆς θείας συμπαραλαβομένης δυνάμεως, ὡς ἔλαιον τὸ ὕδωρ ἐγένετο τῷ πυρὶ, καὶ ἀνῆψε τὴν φλόγα, καὶ κατηνάλωσεν ἅπαν τὸ προστυχόν. τότε οὖν ὁ Περσῶν βασιλεὺς τὴν ἅλωσιν τῆς πόλεως ἀπογνοὺς, καὶ τὴν βοήθειαν ὅθεν εἶχεν μαθὼν, πρὸς συμβιβάσεις ἐχώρησε, καὶ σπονδὰς εἰρηνικὰς ποιησάμενος, πρὸς τὰ οἰκεῖα ἀνθυπέστρεψεν.

Chosrois filia à dæmone liberata.

Erat autem hic quoque, haud ita pòſt ab hac ſacra Imagine beneficium accepturus, hoſtes demerente, eiuſque neceſſariorum hoſtibus exitium parante. Regis enim filia, quam malus dæmon inuaſerat, mentiſque ſtatu, qui ex natura eſt, dejecerat, obſidentis afflatu dæmonis continuè clamabat: Qui in puella domicilium habet ſpiritus, non egreſſurum, niſi Imaginis non manufactæ Edeſsâ aduentu ac præſentia. Audiuit Rex, ac ſecum animo reputans, quæ in obſidione geſta acciderant (nec enim inaudita repente Edeſſenorum fortitudo audaciaque eum latuerat) miſſis ſtatim ad ciuitatis Præſidem, Eulaliumque Metropolitam, ac ciuitatis ipſum commune, literis, diuinam ad ſe citiùs, ſummaque vi pollentem mitti petit Imaginem; omnino rogans ne preces caſſæ eant. Illi autem, tum gentis infidos mores ſuſpectos habentes, tum veriti ne Perſarum Rex hoc moliretur, vt ipſorum eis robur ac præſidium auferret; ſerioque cogitantes ne temerè proderent, qua res illis in tuto poſitæ eſſent, ac

Ἔμελλε δὲ ἄρα καὶ αὐτὸς ὁ εἰς μακρὰν εὐεργεσίας τυχεῖν ἀπὸ τῆς ἱερᾶς ταύτης εἰκόνος, ὁ τῶν πολε- 5.
μίων αὐτοῦ εὐεργετίδος, καὶ τῶν ἑαυτοῦ ἀναιρετίδος. τὸ γὰρ τούτου θυγάτριον ὑπὸ δαιμονίου πνεύματος συσχεθὲν, καὶ τῆς κατὰ φύσιν ἐκστὰν καταστάσεως, ἐβόα συνεχῶς δι' αὐτοῦ ἐνεργούμενον· εἰ μὴ ἐξ Ἐδέσσης ἡ ἀχειροποίητος ἔλθῃ εἰκὼν, ἐντεῦθεν τὸ ἔνοικον τούτου μὴ ἐξελεύσεσθαι. τοῦτο ἀκούσας ὁ βασιλεὺς, καὶ τὰ ἐπὶ τῆς πολιορκίας λογισάμενος· οὐδὲ γὰρ ἔλαθεν αὐτὸν ἡ παράδοξος ἐξαίφνης ἰσχὺς, καὶ τὸ θάρσος διέλαθε τῶν Ἐδεσσηνῶν, γράφει παραχρῆμα πρός τε τὸν τῆς πόλεως περιξάρχοντα, καὶ πρὸς τὸν μητροπολίτην Εὐλάλιον, καὶ πρὸς τὸ κοινὸν τῆς πόλεως, ἀποσταλῆναι θᾶττον αὐτῷ τὸ θεῖον καὶ πανσθενὲς ἀπεικόνισμα, προσθεὶς καὶ τὴν αἰτίαν τὴν τῆς θυγατρὸς συμφοράν· καὶ παντοίως ἀξιῶν τε καὶ βιαζόμενος, μὴ ἀποτυχεῖν τῆς αἰτήσεως. οἱ δὲ τό, τε τοῦ Περσικοῦ ἤθους ἄπιστον ὑφορώμενοι καὶ ὑποπτεύοντες δόλῳ βούλεσθαι τὸν Πέρσην τὴν ἑαυτῶν ὠφέλειαν

ἰσχὺν, καὶ μὴ προέσθαι τὴν προστάτιν καὶ εὐεργέτιν προῃρημένοι, ἀλλὰ μηδὲ τὴν εἰρήνην λῦσαι τῆς τοιαύτης προφάσεως ἕνεκα, βουλὴν βουλεύονται συνετὴν καὶ λυσιτελοῦσαν αὐτοῖς. μεταγράψαντες γὰρ ἴσην κατὰ πάντα, καὶ ὁμοίαν ὡς ἐνῆν εἰκόνα τῆς ἀγράπτου γραφῆς, καὶ πρὸς τὸ ὁμοιῆς κατὰ τὸ δυνατὸν ἀπηκριβωσάντες, πρὸς τὸν αἰτησάμενον ἀποστέλλουσιν. ὡς δὲ ἐντὸς τῶν τῆς Περσίδος ὁρίων ἐγένοντο οἱ τὴν εἰκόνα διακομίζοντες, εὐθέως διὰ τῆς τοῦ βασιλέως θυγατρὸς ὁ δαίμων ἀνέκραξε, θᾶττον ἐξέρχεσθαι, καὶ διαμείβειν τὴν οἴκησιν τῆς τοῦ ἐρχομένου δυνάμεως ἕνεκα, μόνον εἰ τὸ μετακληθὲν ἀποστραφείη ὁμοίωμα, καὶ μὴ τοῖς βασιλείοις, μηδὲ τῇ πόλει Περσῶν προσπελάσειε· καὶ πρὸς τοῦτο πολλὰ τοῦ βασιλέως ἐδεῖτο καὶ καθικέτευεν. ὑποσχομένου δὲ βασιλέως, ἐξελθόντος ἀπὸ τῆς κόρης τοῦ δαίμονος, καὶ ἐν ὑγιεῖ καταστάσει γεγονυίας τῆς βασιλικῆς παιδὸς, ὁ Χοσρόης, εἴτε τὴν τοῦ αἰτησαμένου δαίμονος ἀξίωσιν ἐκπληρῶν, καὶ τὴν ὑπόσχεσιν ἐμπεδῶν, εἴτε τὴν τοῦ ἐρχομένου δύναμιν δεδιὼς διὰ τὸ φαῦλον αὐτοῦ τῶν ἔργων καὶ μιαρὸν, ἀποστεῖλαι ὑποστρέψαι πρὸς τὴν ἀφ' ἧς ἐξῆλθε πόλιν τὴν τοιαύτην εἰκόνα ἐκέλευσε· καὶ δῶρα προσθεὶς παρ' ἑαυτοῦ πρὸς τοὺς ταύτην ἐκπέμψαντας.

vnde beneficia affluerent; cumque nihilominus eâ occasione pacem dissoluere nollent, solers atque oppidò vtile consilium ineunt. Ex primo scilicet exemplari, aliam omnino æqualem, ac quam licuit similem ducentes Imaginem; ex non picta, artis operâ pictam, summa quadam possibili illius imitatione, ad Regem qui poposcerat, ablegant. Vixque adeò sacræ sarcinæ bajuli Persarum fines intranerant, cum statim dæmon puellæ ore clamat: Mox se exiturum ac hospitio migraturum, modò solum accersita Imago reuerteretur, ac neque ad regiam, neque ad Persarum ciuitatem accederet. Id dæmon à Rege magnopere contendebat, supplexque efflagitabat. Pollicetur Rex; egressoque dæmone ac filia sanitati reddita, fidem Chosroës liberaturus, quam obstrinxerat dæmoni, atque promissum seruaturus, siue etiam propter mala opera & impura, venientis potentiam veritus, vt in vrbem vnde exierat Imago referatur, iubet, ac præterea eos qui miserant muneribus donat.

Ἦν οὖν παρὰ τοῖς Ἐδεσσηνοῖς ὁ πολύτιμος ὄλβος οὗτος, ὁ ἀκένωτος θησαυρὸς, ἡ εἰκὼν ἡ πρωτότυπός τε καὶ ἄγραφος, τιμωμένη ἀεὶ πρὸς αὐτῶν, καὶ ἀντιφρουροῦσα αὐτούς. ἐπεὶ δὲ πρὸς τὴν βασιλεύουσαν ταύτην τῶν πόλεων τὰ πανταχόθεν συνερρύηκεν ἀγαθώτατά τε καὶ κάλλιστα· ἦν δ' ἄρα θεῖόν τε βούλημα καὶ τὴν ἱερὰν ταύτην εἰκόνα ἐνταῦθα μετὰ τῶν ἄλλων ἀποθησαυρισθῆναι καλῶν· ὁ τῶν Ῥωμαίων κυριεύων ἀρχῆς Ῥωμανὸς αὐτοῦ δύναμα πρα-

Erant ergo apud Edessenos pretiosæ hæ Reliquiæ, inexhaustus thesaurus; Imago illa primaria, nullaque picturæ arte efficta, jugem illic venerationem habens, suosque vicissim clientes seruans ac tuens. Postquã autem ad Augustam hanc vrbem optimæ quæque ac pulcherrima confluxerant; diuinæque voluntatis erat, vt & hoc sacrum pignus cum reliquis eius præclaris ornamentis in ea reconderetur; qui Imperij Romani clauum Romanus teneret ac rerum summâ potire- Romani Imperatoris sacrorũ pignorum religio.

tur, in eam rem incumbit ac nauat operam, suis vt curis Vrbs Augusta felicitatis cumulo id quoque nanciscatur. Sæpius enim, aliis aliisque temporibus missis nuntiis, Edessa mittendam vnà cum Epistola, quam sua Dominus manu conscripserat, sacram Imaginem rogauerat ac vicissim ducentos Saracenos, argentique signati duodecim millia commutationis iure daturam se, pollicitus erat. Haud tamen Edesseni, ex suis rationibus esse dicebant, quod suæ ciuitatis custodem ac conseruatricem, pecunia ac mortalibus capitibus commutarent.

Ita Romanis bello infestis ac regionem populantibus.

Repetitæ sæpius preces, sæpius repulsam passæ; donec tandem a mundi conditu anno sexies millesimo quadringentesimo quinquagesimo secundo, missis Ameras Edessenus nuntiis vt scripta cautione aureo signaculo firmata Imperator fideiuberet; fore scilicet, vt deinceps hostiles Romanorum copiæ hasce quatuor ciuitates non inuaderent; Rocham (quam vox Barbara Edessam vocat) Charam, Sarote & Samosata; neque earum agros diriperent, aut ex incolis captiuas abigerent. Ducentos quoque Sacenos ex contribulibus liberos abire fineret, ac quam antè promiserat pecuniæ vim dependeret. Hæc si præstarentur, redditurum se quam flagitabat Imaginem, ac Christi Epistolam.

At Imperator, eius boni desiderio, ad omnia hæc proposita facilis, atque ea quæ petebantur munificè tribuens, religiosissimum Samosati Episcopum Abramium, tunc temporis Byzantij agentem, ad diuinam Imaginem, Christique Dei nostri Episto-

ἔτυχε δὲ ἑαυτοῦ ταύτης κατευμοιρῆσαι καὶ καταπλουτῆσαι τὴν βασιλεύουσαν· καὶ δὴ κατὰ διαφόρους καιροὺς ἀποστείλας πρὸς Ἔδεσσαν, ᾔτει τὸ ταύτην αὐτῷ μετὰ τῆς αὐτογράφου τοῦ Κυρίου ἐκπεμφθῆναι ἐπιστολῆς, καὶ ἀντιδιδόναι καθυπισχνεῖτο αὐτοῖς εἰς ἀντάλλαγμα, Σαρακηνούς τε μέχρι διπλῆς ἑκατοντάδος τὸν ἀριθμὸν, καὶ ἀργύρου ἐπισήμου χιλιάδας δύο πρὸς μυριάδι μιᾷ. οἱ δὲ τῆς Ἐδέσσης, μὴ λυσιτελεῖν αὐτοῖς ἔλεγον τὴν φύλακα, καὶ φρουρὸν τῆς οἰκείας πόλεως ἀργυρίου, καὶ ἀπὸ τῶν ἀνθρώπων ἀνταλλάξασθαι.

Ὡς δὲ ὁ μὲν ἐπέκειτο καὶ αὖθις αἰτῶν· οἱ δὲ, πολλάκις τὴν δέησιν παρεωρῶντο, τέλος κατὰ τὸ ἑξακισχιλιοστοῦ τετρακοσιοστοῦ πεντηκοστοῦ δευτέρου τῆς τοῦ κόσμου γενέσεως ἔτους, ὁ τῆς Ἐδέσσης ἀπέστειλεν Ἀμηρᾶς, ἀξιῶν ἐγγράφῳ ἀσφαλείᾳ διὰ σφραγῖδος χρυσῆς ἐχούσης τὸ βέβαιον, τὸν βασιλέα κατεγγυήσασθαι, τοῦ μὴ πολεμίοις ἐπέρχεσθαι τὰ τῶν Ῥωμαίων στρατεύματα κατὰ τῶν τεσσάρων τούτων πόλεων· φημὶ δὴ τῆς Ῥοχᾶ, ὅπερ τὴν Ἔδεσσαν ἡ βάρβαρος ὀνομάζει φωνή· τῆς Χαρὰν, τῆς Σαράτοις, καὶ τῶν Σαμοσάτων· μηδὲ ληΐζεσθαι τοὺς τούτων ἀγρούς, ἢ τοὺς ἐν αὐτοῖς κατοικοῦντας ἀνδραποδίζεσθαι. ἀπολυθῆναι δὲ αὐτῷ καὶ τοὺς διακοσίους ἀπὸ τῶν ὁμοφύλων Σαρακηνοὺς μετὰ τῆς προϋπεσχημένης τοῦ ἀργυρίου ποσότητος· καὶ οὕτω δοῦναι αὐτὸν τὴν ἐπιζητουμένην εἰκόνα, καὶ τὴν ἐπιστολὴν τοῦ Χριστοῦ.

Ὁ δὲ βασιλεὺς τῷ ἔρωτι τοῦ τοιούτου καλοῦ πρὸς πάντα ὑπείξας τὰ προβαλλόμενα, καὶ δοὺς τὰ αἰτούμενα, Ἀβράμιον τὸν θεοφιλῆ τοῦ Σαμοσάτου ἐπίσκοπον, ἐνταῦθα κατ' ἐκεῖνο καιροῦ ἐπιχωριάζοντα ἐπὶ τῇ ἀναλήψει τῆς θείας εἰκό-

ρας, καὶ τὴν ἐπιστολὴν τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐξαπέστειλε. σκοπῶν δὲ καὶ ὁ ἀποστείλας, καὶ ὁ διακονούμενος μὴ κατασοφισθῇ περὶ τὴν ἀπόδοσιν, καὶ ἀντὶ τῆς ἀγράφου καὶ ἀληθοῦς, μεταγραφεῖσα τότε διὰ τὴν Περσικὴν περίστασιν τύπῳ ἐπιδοθῇ, ἀμφοτέρας ταύτας μετὰ καὶ ἑτέρας τῆς ἐν τῇ τῶν Νεστοριανῶν ἐκκλησίᾳ τιμωμένης, πάλαι καὶ αὐτῆς ὡς ἔοικεν ἀπὸ τοῦ πρωτοτύπου μεταληφθείσης ἐπιζητήσας, πρὸς πίστωσιν ἔλαβεν· αἳ καὶ αὖθις ἀντεπεδόθησαν, μόνης ἐγκρατηθείσης τῆς κυρίας καὶ ἀληθοῦς.

Τοῦτο μὲν ὕστερον. καὶ τότε δὲ στάσις παρὰ τῶν ἐν Ἐδέσσῃ πιστῶν διηγείρετο, καὶ θόρυβος τὴν πόλιν κατεῖχε συχνός, μὴ μεθιέντων ἀφαιρεθῆναι τὰ τιμιώτατα τῶν παρ᾽ αὐτοῖς, καὶ τῆς ἐγκειμένης αὐτῶν φυλακτήρια, ἕως ὁ τῶν Σαρακηνῶν ἀφηγούμενος, τοὺς μὲν πείσας, τοὺς δὲ βιασάμενος, τοὺς δὲ καὶ ἀπειλαῖς σφαγῆς δεδιξάμενος, ἐπιδοθῆναι αὐτὴν κατεπράξατο. βροντῶν δὲ καὶ ἀστραπῶν μεθ᾽ ὑετοῦ λαβροτάτου κατά τινα τέχνην ἢ πρόνοιαν αἰφνιδίως καταρραγεισῶν ἐν τῷ μέλλειν ἐξέρχεσθαι τῆς Ἐδέσσης τὴν εἰκόνα καὶ τὴν ἐπιστολὴν τοῦ Χριστοῦ, πάλιν οἱ καὶ πρότερον ἀντεχόμενοι τούτων ἀνεκινοῦντο, καὶ τὸ θεῖον ἐπισημαίνεσθαι τὴν τοῖς πεπλομένοις διεβεβαίουν, μὴ κατὰ θείαν βούλησιν γίνεσθαι τὴν ἐντεῦθεν τῶν ἁγιωτάτων τούτων μετάστασιν. ἀλλὰ τοῦ τῶν Σαρακηνῶν ἀρχηγοῦ, ὑφ᾽ ᾧ τὸ πᾶν τῆς ἐξουσίας ἀνέκειτο, ἐμμένειν τοῖς ὁμολογημένοις κρίναντος δεῖν, καὶ ἐκπληροῦν τὴν ὑπόσχεσιν, ἔξεισι τῆς πόλεως τὸ περικαλλέστατον ἀπεικόνισμα, καὶ τὸ Χριστόγραφον ἐπιστόλιον. καὶ πρὸς τὰ ἐντεῦθεν διεκομίζετο.

Καὶ δὴ τὴν ὁδὸν διανύοντες οἱ

lam recipiendam misit. Cauens autem tum qui miserat, tum qui ministerio defungebatur, ne quid fraudis sacro pignore consignando obreperet, ac pro Imagine non manufacta veraque ea traderetur, quæ ob ingruentem Persicam necessitatem, ex illa tunc ducta fuerat; ambas has, necnon & tertiam aliam, quæ in Ecclesia Nestorianorum colebatur, quæ ipsa quoque, vt est verisimile, ex primo illo ducta exemplari fuerat, cùm quæsiisset accepit, ad fidem rei adstruendam: quæ & rursus redditæ sunt, ea solũ retẽta, quę propria veraq; erat.

Sed hæc quidem postea. Tunc autem fidelium Edessæ excitata seditio, frequensque erat ciuitatis commotio, cum sibi pretiosissima pignora, & quibus patriæ salus constabat ac incolumitas, auferri nõ ferrent: donec Saracenorum Dux, alios suasionibus adducens, alios vi cogens, atque alios necis metu subigens, vt sibi illa traderentur, effecit. Cùm autem tonitrua & fulgura cum imbrium immensa vi, quadam siue arte siue prouidentia repente erupissent, quo ipso momento exportanda Edessâ esset sacra Imago & Christi Epistola, rursus eorum orta commotio, qui prius obsistebant; eiusque rei portento aiebant significare Numen, haud diuinæ voluntatis esse quòd sanctissima hæc pignora inde commigrabant. Verùm Saracenorum Duce, penes quem omne arbitrium erat, standum esse conuentis statuente, ac explenda promissa, egreditur è ciuitate Effigies pretiosissima ac Christi manu scripta breuis Epistola, hucque transfeferuntur.

Exportata Edessa sacra pignora.

Denique iter conficientes, ad Eu-

phratis oram sacræ sarcinæ vectores aduenerant; rursusque, nullo priorum minor, excitatus tumultus, conclamantibus Edessenis, nisi cœlitus signum aliquod exhibeatur, quicquid accidat, non dimissuros quibus eorum tuta salus esset & incolumitas. Datur itaque eis signum, qui infideles essent, & tentarent. Nauis enim cum quâ constitutum vt Euphratem transirent, dum adhuc ad partes Syriæ in littore staret, vbi solum ingressi in eam Episcopi diuinam deferentes Imaginem ac Epistolam, cùm adhuc seditiosos tempestate detineret, repente, nullo remige aut gubernatore seu etiã trahente, ad alteram ripam diuina dumtaxat voluntate gubernante, profecta est, appulitque; quę res, quotquot aderant & viderãt stupore impleuit ac admiratione, fecitque vt sponte mittenda sacra pignora permitterent.

1. Cor. 14. v. 22.

Miraculum nauis, Euphrate spõte superato.

Hinc Samosata perueniunt qui piæ sarcinæ ministri erant. Erant autem Samosatorum atque Edessæ Episcopus, eiusque Presbyterorum Primus, aliique quidam religiosi Christiani; iisque Comes vnà aderat Ameræ minister cognomento à Roma. Ibi dies aliquot cùm egissent, multis ad sacra pignora miraculis editis, iter prosequuntur. Rursus in procinctu itineris per sacram Imaginem ac Christi Epistolam innumera patrata miracula: cæci ex improuiso visus facultate donati, claudi sani atque membris integris redditi; saliebant quos olim morbus lecto affixerat, ac quorum erant manus aridæ, vegeto robore exibant. Et (vt semel dicam) morbus omnis & languor fugabatur, ac qui sani euaserant, Deum glorificabant, atque eius mirabilia laudabant.

Crebra alia miracula.

παρόντα ἐπιφερόμενοι, τὸν Εὐφράτην κατέλαβον, καὶ πάλιν θόρυβος μηδενὸς τῶν προτέρων ἐλάττων ἐγείρεται, τῶν τῆς Ἐδέσσης λεγόντων, ὡς εἰ μή τι σημεῖον θεόθεν δειχθῇ, οὐδ' ἂν ὅτι γένηται προήσοντο τὰ συνεκτικὰ τῆς ἀσφαλείας αὐτῶν. δίδοται τοίνυν σημεῖον αὐτοῖς ἀπίστοις οὖσι, καὶ ἐκπειράζουσιν. ἡ γὰρ ναῦς μεθ' ἧς τὸν Εὐφράτην περαιωθῆναι αὐτοῖς προὔκειτο, ἔτι πρὸς τὰ τῆς Συρίας ὁρμιζομένη μέρη, ὡς μόνον εἰσῆλθον ἐν αὐτῇ οἱ ἐπίσκοποι τὴν θείαν εἰκόνα καὶ τὴν ἐπιστολὴν ἐπικομιζόμενοι, ἔτι τοῦ σάλου τοὺς στασιώτας κατέχοντος, ἐξαίφνης χωρὶς ἐρετῶν, χωρὶς τοῦ κυβερνῶντος ἢ ἕλκοντος, πρὸς τὴν ἀντιπέραν κατῆρε γῆν· μόνῳ τῷ θείῳ κυβερνωμένη βουλήματι· ὃ δὴ τοὺς παρατυχόντας καὶ ἰδόντας ἅπαντας, θάμβους ἐνεπλήρωσε καὶ ἐκπλήξεως· καὶ ἑκόντας παραχωρῆσαι τὴν ἐκπομπὴν ἐποίησεν.

Ἐντεῦθεν καταλαμβάνουσι τὰ Σαμόσατα οἱ τῶν φορημάτων διάκονοι· ἦσαν δὲ, ὁ τῶν Σαμοσάτων καὶ τῆς Ἐδέσσης ἀρχιερεὺς, καὶ ὁ τούτου πρωτοπρεσβύτερος, καὶ ἕτεροι τινὲς τῶν εὐλαβεστέρων Χριστιανῶν, οἷς καὶ ὁ τοῦ Ἀμηρᾶ ὑπηρέτης συνῆν 6 ὃς ἀπὸ Ῥώμης κατονομάζετο 6, ἐνταῦθα ἐπί τινας ἡμέρας χρονοτριβήσαντες, πολλῶν ἐκεῖσε θαυμάτων γεγονότων, εἴχοντο τῆς ὁδοῦ· καὶ πάλιν ἄπειρα θαύματα ἐτελεῖτο ἐν τῇ ὁδῷ ὑπὸ τῆς ἱερᾶς εἰκόνος καὶ τῆς ἐπιστολῆς τοῦ Χριστοῦ. τυφλοὶ γὰρ ἀπροόπτως ἀνέβλεπον, καὶ χωλοὶ ἐδείκνυντο ἄρτιοι· κλινήρεις τε πολυχρόνιοι ἥλλοντο, καὶ οἱ ξηρὰς ἔχοντες τὰς χεῖρας ὑγιοῦντο. καὶ συνελόντι φάναι, πᾶσα νόσος καὶ μαλακία ἐθεραπεύετο, καὶ ἐδόξαζον ὑγιαζόμενοι τὸν Θεὸν, καὶ ἀνύμνουν αὐτοῦ τὰ θαυμάσια.

Iam

Ἤδη

Ἤδη οὖν τὸ πολὺ τῆς ὁδοῦ διανύ-
σαντες, φθάνουσιν εἰς τὴν τῆς ἁγίας
Θεοτόκου μονὴν ἣ τὰ Εὐσεβίου κα-
7. τονομάζεται, ἡ ἐν τῷ τῶν Ὀπτιμά-
των λεγομένῳ τυγχάνουσα θέματι.
ἐν τῷ ναῷ δὲ ταύτης φροντιστικῶς
ἁγιοπρεπῶς ἡ τὴν τερατουργὸν
εἰκόνα κρύπτουσα θήκη ἀνατεθεῖ-
ται· καὶ πολλοὶ προσελθόντες δὲ
εἰλικρινοὺς διαθέσεως, ἀπὸ τῶν
οἰκείων νόσων ἰάθησαν· ἔνθα καί τις
προσῆλθεν ὑπὸ δαίμονος ἐνοχλού-
μενος, ᾧ καθάπερ ὀργάνῳ τὸ πονη-
ρὸν ἀποχρώμενον πνεῦμα, καὶ πολ-
magis inauditum, maiusq; ad stuporẽ videatur. nam qui ipsi Deum viderũt Apostolorum Principes Petrus & Ioannes, Lyddæ, quam Diospolim vocant, distatque ab Hierosolymis octodecim miliaribus, cum moras traherent, Oratoria domo sub inuocatione nominis Matris Domini ac Dei parentis ædificata, cùm ad templi dedicationem vt veniret rogassent, ad illos infit, *Ego quoque ilic vobiscum ero.* Ac sane diuina quadam ac inuisibili virtute, illius figura, viuáque effigies in vna colũnarum locata effulsit: veniensque ipsa Dei Mater, ac suam contuita Figuram, gaudioque ac stupore plena etiam atque etiam admirata est, eius, qui ex ipsa homo factus esset, Maternam claritatem ac felicitatem, qui eo cultu auxisset. Mansit illa figura ad Iulianum vsque, qui à Christiana desciuit religione, incolumis; qui ipse vt sanctum simulacrum aboleret, Hebræos quosdam statuarios submisit. Hi, quòd in vna è templi columnis Effigies erecta esset; ipsamque staturam omnem, purpuramque atq; amictũ contuentiũ oculis obiiceret, ac velut iam nũ videntẽ atque loquentẽ eam conspicerent, marmoraria arte conati effodere, splendidiores adhuc radios micantem, nihilque euariantem pro columnę basi offendebant.

Sed & alia plura signa ac admiranda prodigia in sanctissimæ Dei Parentis Imagine facta sunt, eadem diuina virtute; qua & dæmones fugantur, morbi curantur, leprosi mundantur. virtutes præstantur; languor omnis & infirmitas vigore restituto sanantur.

Quin ipse quoque omnium salutis

S. Mariæ Imago Diospolitana non manufacta, eiusque miracula.

Fort. pictores quosdã cum Hebræis.

Edessenæ

Imaginis Christi Historia perstricta.

auctor & Dominus, cùm adhuc in terra versaretur, sancti sui vultus Effigiem in texto lineo exprimens, cuidam Augaro magnæ Edessenorum ciuitatis regulo per diuinum Apostolum Thaddæum misit; diuinumque vultus sudorem abstergens, illius cuncta lineamenta, ac quicquid ipsius figuræ est, linteum adhausit. Hanc Effigiem, ad hunc vsque diem præmagnifica ac clarissima Edessenorum ciuitas, haud secus ac sceptrũ regium iure suo retinens, præclarè exultat & gloriatur. Signaque & portenta in populo exhibet, qui hoc eam munere Christus verus Deus noster, donauit. Quo in genere, cùm aliquando Persarum Rex Chosroës, subita irruptione circum vndique ligna oleagina ad citam Vrbis perniciem pyrâ congessisset, cunctaque solo tenus in fauillam & cineres redacturus esset: videns, qui tum præerat, sanctissimus Metropolita, fore, vt breui omnis populus ardentis pyræ incendio enecaretur, venerandã hanc Imaginem impressi à Deo sudarij sustollit, ac muros obit; nec mora diuina quædã virtus in venti turbine ac flatu vehementiore egressa, in hostes pyram conuertit; ac pertrãsiẽs, eos qui in circuitu erãt velut quondãChaldæos Assyrios, cõbussit.

Narrat & Euagrius lib. 4.

Diuinæ vltionis exẽpla erga violatores sacrarum Imaginũ.

Quondam verò cum quis spernenentis supercilio in Saluatoris Effigiem lapidem sustulisset, statim ex eius ore egressa colũba, vicissim coruus ingressus est: planè, S. Spiritus loco, caliginoso tetroque diabolo hospitio recepto; ac pro luce, pullis atrisque subeuntibus tenebris. Nam & alius Alexandriæ Præfecti præfulgens dignitate, cum sanctam Dei Parentis Imaginem pro Maioris Ec-

καὶ Κύριος ἐπὶ γῆς ἔτι περιπατούμενος, τὸ ἐκμαγεῖον τῆς ἁγίας μορφῆς αὐτοῦ ἐν σινδόνι ἀπομαξάμενος, Αὐγάρῳ τινὶ τοπάρχῃ τῆς Ἐδεσσηνῶν μεγαλοπόλεως διὰ Θαδδαίου τοῦ θεσπεσίου ἀποστόλου ἐκπέμψας· καὶ τὸν θεῖον ἱδρῶτα τοῦ προσώπου ἐναπομάττεται, τὰ χαρακτηριστικὰ ἰδιώματα αὐτοῦ πάντα ἀποσώζων ἐν τούτῳ. ὅπερ ἐκμαγεῖον μέχρι τῆς σήμερον, ἡ λαμπροτάτη καὶ μεγαλώνυμος τῶν Ἐδεσσηνῶν πόλις, ὥσπερ σκῆπτρον βασιλικὸν κατέχουσα, αὐχεῖ καὶ κομπάζει· σημεῖα ἐν τῷ λαῷ δεικνύοντος, τοῦ ταύτην αὐτῇ τὴν χάριν παρεσχημένου Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν· ἐν ᾗ καί ποτε Χοσρόου τοῦ Περσῶν βασιλέως τῷ τάχει αὐτῆς πυρκαϊὰν ἐλαιῶν ξύλων περιανάψαντος κύκλῳ ὅλην κύκλῳ, καὶ πάντα εἰς γῆν καταπυρώσοντος· ὁ κατὰ καιρὸν ἁγιώτατος μητροπολίτης ἰδὼν τὸν λαὸν ἐκ τῆς ἀγχιπυρκαϊᾶς ἤδη μέλλοντα ἐναποθνήσκειν, τοῦτον τὸν σεβάσμιον χαρακτῆρα τοῦ θεοτυπώτου σινδόνος ἐπάρας, καὶ τὰ τείχη περιπολεύσας, θεία τις δύναμις ἐξελθοῦσα ἐν ἀέρι καὶ πνοῇ βιαίᾳ, τὴν πυρκαϊὰν ἐνέστρεψε τοῖς ὑπεναντίοις, καὶ διαδύνουσα, καὶ ἐνεπύρισε τοὺς πέριξ, ὡς τοὺς Χαλδαίους τοὺς Ἀσσυρίους.

Ποτὲ γάρ τινος καταφρονητικῶς λίθον διάραντος ἐν τῇ τοῦ σωτῆρος εἰκόνι, εὐθὺς περιστερὰ ἐκ τοῦ στόματος αὐτοῦ ἐξελθοῦσα, κόραξ αὖτις εἰσάγεται· προδήλως ἀντὶ τοῦ ἁγίου Πνεύματος, ὁ ἐζοφωμένος διάβολος κατοικιζόμενος καὶ ἀντὶ φωτὸς, μελανειμάτας σκότος ὑποδυόμενος. καὶ ἄλλος γὰρ ἐν Ἀλεξανδρείᾳ τῇ πόλει ὑπάρχου ὄντος τῇ τάξει, τὴν ἐν τῷ σεβασμίῳ τῆς μεγάλης ἐκκλη-

σίας ἁγίαν τῆς Θεομήτορος εἰκόνα περιερχόμενος πολλάκις φενακίζων, καὶ διαμωκίζων· ἐν μιᾷ ὀφθεῖσα αὐτῷ ἔτι γρηγοροῦντι, ἔχουσα μεθ' ἑαυτῆς δύο εὐνούχους· καὶ τούτου τὰς χεῖρας καὶ τοὺς πόδας διατεινάσης, καὶ τῷ ἁγίῳ αὐτῆς δακτύλῳ διαχαραξάσης τὰ μέλη, αἱ ἁρμογαὶ τῶν χειρῶν ἐξ ἀγκώνων καὶ τῶν ποδῶν ἐξ ἀστραγάλων θραυσθέντες, ὡς φύλλα ἀπὸ συκῆς διαῤῥαγέντες ἐκπεπτώκασι. καὶ ἄλλον δέ τινα ἐν αὐτῇ τῇ πόλει τοιαῦτα τετολμηκότα, καὶ ὑπὸ στρατιωτῶν διωκόμενον, πρόσφυγόν τε γεγονότα τῇ τῆς Θεομήτορος σεπτῇ εἰκόνι· καὶ τοῦτον ἐν ὀφθαλμοῖς πάντων ἀποστραφεῖσα, ὑποχείριον εἰς σφαγὴν ὡς ἐπίβουλον παραδέδωκε. καὶ πολλοὺς γὰρ πολλάκις τολμηρῶς προσκρούσαντας, οὐχ ἡ τυχοῦσα δίκη ἐκόλασεν.

Ἐπιλείψει με ὁ χρόνος διηγούμενον τὰ διηγήματα, ἀφ' ὧν ἐξ ἀρχαίων, καὶ ἄνωθεν ἁγίων Προφητῶν καὶ Ἀποστόλων καὶ Πατέρων καὶ Διδασκάλων νενομοθέτηται. οὐδὲν γὰρ λέληθε τοὺς πνευματοφόρους καὶ θεόπτας ἀποστόλους· ἀλλ' ἅπερ τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησεν ἐν νόμῳ καὶ προφήταις καὶ εὐαγγελίοις, ταῦτα καὶ ἐδίδαξαν, ταῦτα καὶ παρέδωκαν· ταῦτα καὶ ἐκόσμησαν τὴν ἁγίαν ἐκκλησίαν ἀπὸ περάτων τῆς οἰκουμένης, ἀπὸ τῆς ἐνδόξου Χριστοῦ παρουσίας, μέχρι τερμάτων αἰῶνος. ἀλλά γε ὁ πολέμιος καὶ ἀρχαῖος τοῦ γένους ἐπίβουλος διάβολος, φθόνῳ καὶ βασκανίᾳ τῶν καλῶν τηκόμενος, οὐκ ἐπαύσατο τὴν πολυτάραχον αὐτοῦ καταιγίδα, ὡς λαίλαπα ἀγρίαν, τῶν αἱρέσεων κινῶν.

Καὶ Κωνστάντιος μὲν ὁ τοῦ σκυ-

clesiæ vestibulo positam circumiens, haud raro gestu verbisque illuderet: quadam nocte adhuc peruigili, apparere visa est, duos secum eunuchos comites habens. Tum eius distentis manibus ac pedibus, illaque sancto suo digito membra exarante; statim manuum pedumque ex lacertis, calcaneisq; confractę compages, haud secus ac folia è ficu disrupta, atque auulsa deciderunt. Quin & aliũ quendam dicunt, qui ipse his similia eadem in vrbe pari procacia sibi indulgeret, dum apparitoribus insequentibus perfugij causâ atque asylum quęrens, ad venerandam Dei Parẽtis Imaginem profugisset, ipsa sub omnium oculis hominem auersante, præsentaneæ neci velut inimicum ac insidiarum reum, traditum esse. Multosque sæpius præpeti audaciâ offendentes, seuerior vltio incessit.

Deficiet me tempus si ea enarrare velim, quæcunque veteribus, quique superioribus sæculis floruerunt, sanctis Prophetis, Apostolis, Patribus, Magistris sancita sunt Nihil diuino afflatos Spiritu Apostolos latuit, ac qui ipsi Deum viderunt. Verùm ea, quæ Spiritus sancti in Lege & Prophetis & Euangeliis locutus est, hæc & docuerunt, hæc & prædicauerunt, hæc & tradiderunt; atque à finibus orbis terrarum à Christi glorioso aduentu ad fines vsque sæculi, sanctam Ecclesiã ornarunt. Verumenimverò hostis ille, olimque humanum genus insidiis petens diabolus, bõnorum liuore ac inuidia cõtabescens, turbulentam afflatu suo hæresæon procellam, velut sæuientes fluctus commouendi nullum finem facit.

Et quidem Constantius Magni

Hæreseon per tempora grassatio, ac expugnatio.

Constantini Imperij, sceptrorumque successor ac hæres; magnæ scilicet radicis, putris ramus: nō leui successione tentans quod patri iactum fundamentum erat, belloque, quod idolorum superstitione peius esset, Ecclesiæ illato, Arianorum seductus errore, Ecclesiarum propugnacula columnasque concutiens elisit.

Constantij Ariani persecutio.

Liberio namque Vrbis Romæ Papa, Athanasio Alexandriæ viro maximo, Paulo altero Constantinopolitanæ Sedis Antistite Confessore: clarissimi nominis Eustathio Antiocheno, aliisque proceribus ac sanctis Patribus exilio relegatis atque fugatis, Sancta sanctorum impiis hominibus ac sceleratis concredidit.

Iuliani Apostatæ & Valentis.

Tum sequaces atque socij & adjutores, Iulianus ille Christiani desertor nominis ac præuaricator primogenitus Satanæ: similiter quoque Valens, is quidem, non eiurato Christiani nomine desertor, at Christi tamen persecutor ac impugnator.

Theodosius fidei vindex & assertor.

Verùm statim ab Occidentis lucenti cœlo spiritale exortum sidus Magnus Theodosius, aduersus Spiritus impugnatorem Macedonium Patriarchali Sede ejectum, sanctorum Patrum conuenientibus, aliisque aliis concurrentibus, maximum Christianæ pietatis decus, sanctum Symbolum inuiolabile Ecclesiæ figens confirmauit.

πλέον διαδεξάμενος τῆς βασιλείας τοῦ μεγάλου Κωνσταντίνου· ὁ τῆς μεγάλης ῥίζης σεσαθρωμένος ὄρπηξ, οὐ μετρίαν κλόνον καὶ τάραχον τῆς πατρικῆς κρηπῖδος, εἰσβαλὼν πόλεμον τῇ ἐκκλησίᾳ, χείρονα τῆς εἰδωλικῆς δεισιδαιμονίας, τῇ τῶν Ἀρειανικῶν φρενῶν φενακιζόμενος ἀπάτῃ, τοὺς προβόλους καὶ στύλους τῶν ἐκκλησιῶν κατασείσας κατέρραξε· Λιβέριον μὲν πάπαν Ῥώμης, Ἀθανάσιον τὸν μέγιστον Ἀλεξανδρείας, Παῦλον ἄλλον Κωνσταντινουπόλεως τὸν ὁμολογητήν· Εὐστάθιον τὸν περιώνυμον Ἀντιοχείας, καὶ τοὺς σὺν αὐτοῖς λογάδας καὶ ἁγίους πατέρας ἐξοστρακίσας καταδικάσας· ἀνθρώποις ἀσεβέσι καὶ ἐναγέσι τὰ τῶν ἁγίων ἅγια ἐνεχειρίσατο. αὖθις ἐπαδοὶ καὶ συνεργοὶ Ἰουλιανὸς ὁ πρωτότοκος υἱὸς τοῦ σατανᾶ, ὁ ἀποστάτης καὶ παραβάτης· ὡσαύτως καὶ ὁ Οὐάλης, εἰ καὶ μὴ ἀποστάτης, ἀλλά γε Χριστοδιώκτης καὶ Χριστομάχος· ἀλλ᾽ αὐτίκα γοῦν ἀνατέταλκεν 6 ὁ τῆς δυτικῆς λαμπα- 6.
δηφορείας πνευματικὸς ἀστὴρ ὁ μέγας Θεοδόσιος, καὶ τοῦ πνευματομάχου Μακεδονίου ἐκ τοῦ πατριαρχικοῦ θρόνου ἐξοστρακισθέντος, συνόδοις καὶ συνδρομαῖς τῶν ἁγίων πατέρων, τὸ μέγιστον τῆς εὐσεβείας Χριστοῦ ἅγιον σύμβολον τῇ ἐκκλησίᾳ ἀπαρεγχείρητον ἐμπήξας ἐδραίωσε.

Duplex in hos Synodus, Ephes. & Chalced. Theod. Minore & Marcian. Impp.

Ps. 26. v. 12.

" al. Ονώρ.

Huius successores, Arcadius & Honorius; atque horum rursus, Arcadij proles Theodosius: tumque rursus gangræna depascens, Nestorio hominis cultore, Eutyche & Dioscoro detinentibus veritatem in iniquitate. Veruntamen *mentita est iniquitas sibi.* Maximus enim regiæ pietatis iurisque deposito

Τούτου τῆς βασιλείας διάδοχοι, Ἀρκάδιος καὶ " Ὠνόριος· καὶ τούτων αὖθις, Θεοδόσιος ὁ τοῦ Ἀρκαδίου βλαστός. εἶτα πάλιν ἡ γάγγραινα νομὴν λαβοῦσα, Νεστορίου τοῦ ἀνθρωπολάτρου, Εὐτυχοῦς καὶ Διοσκόρου, τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων. ἀλλ᾽ ὅμως ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. ὁ γὰρ μέγιστος τῆς

βασιλικῆς εὐσεβείας νομοφύλαξ Μαρκιανὸς, τῇ τῶν ἁγίων πατέρων συνδρομῇ, τοὺς δυσσεβεῖς εἰς γῆν κατέρραξεν.

cuſtos Marcianus, ſanctorum Patrum concurſu, impios in terram alliſit.

Εἶτα πάλιν ἄλλοι τινὲς τὴν ἁλμυρὰν τῆς θεοπαθείας καταρράναντες αἵρεσιν, Σέβηρος, Ἰάκωβος, Πέτρος ὁ Κναφεὺς, καὶ ἄλλοι τινὲς τῆς ἀνοσιουργίας ἀποπτύσματα· μεθ' ὧν ἡ βασιλικὴ Ζήνωνος τυραννικωτάτη χεὶρ κατεστράτευσεν· ὥσπερ ἡ τῶν εὐσεβῶν βασιλέων, Ἰουστινιανοῦ τοῦ μεγάλου, καὶ τῶν ἁγίων πατέρων θεοθρέμμων σύνοδος, ὥσπερ λιμώττοντας κύνας τῆς ἐκκλησιαστικῆς ὁμηγύρεως ἐξήλασεν.

Exinde rurſus aliis quibuſdam eius hęreſis amara aſperſa ſalſugo eſt, quæ Deo paſſionem adſcribit; Seuero, Iacobo Petro Fulloni, nonnulliſque aliis execrandis piaculis: quibus cum Zenonis ſumma tyrannide manus militauit: quos religioſiſſimorum Imperatorum, Iuſtiniani Magni, ſanctorumque Patrum Dei nutu collecta Synodus, velut fame tabeſcentes canes ab Eccleſiæ cœtu abegit.

Theopaſchitarum hæreſis. Sed hæc ex certioribus petenda Eccleſiaſticis monumentis.

Εἶτα πάλιν οἱ πρόβολοι καὶ τῶν ἐκκλησιαστικῶν πυργοβάρεων, Ὠνόριος Ῥώμης, Σέργιος ὁ τῆς βασιλίδος, Πύῤῥος, Παῦλος, Κῦρος Ἀλεξανδρείας, Μακάριος Ἀντιοχείας, Θεόδωρος ὁ τῆς Φαρὰν, ὑπὸ τοῦ πολυμηχάνου καὶ ἀρχηγέτου τῶν κακῶν, εἰς γῆν τῆς αἱρέσεως κατερ-
7. ράχθησαν· καὶ ὑπὸ τοῦ εὐσεβοῦς μεγάλου Ἰουστίνου τῇ τῶν ἁγίων πατέρων θεοσυλλέκτῳ συνόδῳ τῆς κατακρίσεως ἀνάθεμα κληρωσάμενοι. Εἶτα τούτων, καὶ πλειόνων αἱρέσεων ὡς ἄχυρα ἀπὸ ἅλωνος θερινῆς ἀναρριπισθέντων, καὶ ὡς κύματα ἄγρια θαλάσσης διαλυθέντων· τί νῦν ὁ ἕρπων σκολιὸς ὄφις, ὁ ἀντίδικος τοῦ γένους ἡμῶν διάβολος,
8. ὁ σπορεὺς τῶν ζιζανίων; ἄλλον τινὰ βουρκαιὸν τῆς ἀσεβείας, καὶ τῆς αἱρέσεως . . . καὶ τὸ τοῦ Θεοῦ λόγου ἀτρέπτου, καὶ ἀναλλοιώτου σαρκώσεως ἤδη περὶ τοὺς ρλ'. χρόνους, τὴν ἀνίατον ταύτην, καὶ ἀθεράπευτον νομὴν διανέμων, τοιᾷδε προφάσει.

Poſtea rurſus, Eccleſiaſticæ firmitatis turritorum propugnaculorum ipſi propugnacula ac defenſores, Honorius Romanus Antiſtes, Sergius, Pyrrhus, Paulus Auguſtæ Vrbis, Cyrus Alexandrinus, Macarius Antiochenus, Theodorus Pharan, verſutiſſimi aſtu atque malorum auctoris, ad hæreticæ prauitatis terram alliſi, religioſo magnoque Iuſtino: ſanctorum Patrum Dei nutu collectæ Synodi calculo, damnationis anathema retulerunt. Tum deinde aliæ atque his plures hæreſes paleæ inſtar ac glumæ æſtiua ab area exſufflatæ, ac velut ſæui maris fluctus diſſolutæ. Quid igitur ventrem trahens obliquus ſerpens, humani generis accuſator diabolus, ille zizaniorum ſator? Alium quendam ſuſcitat impietatis ac hæreſeos turbinẽ; Deique Verbi immutabilẽ labiſq; puram Incarnationẽ annis ab hinc centũ triginta, malo hoc remedium omne ac curationem reſpuente, depaſcitur; per talem quandam, quam dicturus ſum occaſionem.

Monothelitarum anteſignani, ipſi primarum Sediũ Antiſtites.

Conſtantino.

Θεοδοσίου τοῦ γένους Ἀδραμυτ-

Theodoſio Adramytini generis

Hæreſis

Iconoclastarum origo atque auctores.

Imperij sceptra moderante ; ac Iesa Arabum Principatus Duce, duo quidem Dei hostes Hebræi (vt semper gens illa ac vbique ceruicem erigunt aduersus Dominum, & aduersus Christum eius præfremunt) homines scilicet præstigiis, sortilegiis, veneficiis, dæmonumque auguriis impensi, vt qui Astrologicam quondam disciplinam consectarentur, Iudæis Isauris affinitate iuncti; vagi quidam, Arabum aulam petunt. Hos aduenisse, ei, quem dixi, Iesa nuntiatum. Felicis vitæ annos plurimos viro augurantur ac longum principatum, si modò is in animum inducat, vt Christianorum euertat ornatum, ac Iesu Dei viri Saluatoris nostri, eiusque parentis Imaginem ex Ecclesiarum septis aboleat. Ac verò ille, vitæ amans, ac moribus porcinis homo, impostorum consilio morem gerens, Orientis Ecclesias omnes conturbauit. Fefellit tamen spes miserum : vix enim breui elapso tempore, diuina eum vltio sustulit. Eius porro filius arrepto principatu, cùm velut falsos vates neci daturus esset, illi fuga salutem expedientes, ad Isauriæ rursus fines reuersi sunt.

Leonis Isauri exordia; Imperij vaticinium; irreligiosa promissio.

Deinde cum ad fontis cuiusdam irriguum, æstum temperarent, adest quidam adolescens Leo nomine, pulchra specie, formoso vultu, procera statura, fornacaria arte; eaque victum quæritans. Isque adeò iumenti deposito onere, ipse quoque ad fontem æstum leuaturus, sedebat. Hora erat fore sexta. Tum Pythonum discipuli, fore vatici-

νοῦ, καὶ τὰ βασιλικὰ σκῆπτρα ἐγκεχειρισμένου· ὁ Ἰεζὰ τε τῶν Ἀράβων ἡγεμονεύοντος ἐξουσίας, δύο θεοστυγεῖς θεομάχοι Ἑβραίων παῖδες, οἱ ἀεὶ καὶ πάντοτε τράχηλον ἐπαίροντες κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ φρυαττόμενοι, περιεργίαις καὶ συμβολομαντείαις, καὶ φαρμακείαις καὶ δαιμονιώδεσιν οἰωνίσμασι σχολάζοντες, ὡς δῆθεν ἀστρολογικήν τινα μεταδιώκοντες ἐπιστήμην, ἐξ ἀγχιστείας τῶν Ἰσαυρικῶν Ἰουδαίων ὑπάρχοντες, πλανώμενοι καταλαμβάνουσι τὴν τῶν Ἀράβων βασιλικὴν αὐλήν· καὶ μὴν καταμηνύονται τῷ προῤῥηθέντι Ἰεζά· καὶ τούτῳ χρησμῳδίαις πολυζωΐας, καὶ πολυχρονίου διαμονῆς μυοῦνται, εἰ ἄρα γε τὴν τῶν Χριστιανῶν καταρράξαι διακόσμησιν ἐμυηθείη· τὸν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θεανδρικὸν χαρακτῆρα, καὶ τῆς αὐτὸν τεκούσης θεομήτορος, ἐκ τῶν ἐκκλησιαστικῶν περιβόλων ἀπαλεῖψαι. καὶ δὴ ὁ φιλόζωος ἐκεῖνος καὶ χοιροβίος ἄνθρωπος, ὑπεῖξε τῇ συμβουλῇ τῶν ἀπατεώνων· καὶ πάσας τὰς τῆς ἑῴας ἐκκλησίας ἐσάλευσεν. ἀλλ' ἠπατήθη ὁ δείλαιος. οὐ μικρὸς γὰρ χρόνος παρῆλθε, καὶ τοῦτον ἡ θεία δίκη ἐχειρώσατο. ὁ δὲ υἱὸς αὐτοῦ διαδεξάμενος τὴν ἡγεμονίαν, τούτους βουληθεὶς ὡς ψευδομάντεις ἀποκτεῖναι, φυγάδες ᾤχοντο, ἀνακάμψαντες πάλιν ἐν τοῖς Ἰσαυρικοῖς μεθορίοις.

Εἶτα εἰς πηγήν τινα ἀναψύχοντες τῇ φλεγμονῇ τοῦ καύματος, ἰδοὺ νεανίσκος τις τοὔνομα Λέων, καλὸς τῷ εἴδει, ὡραῖος τῷ προσώπῳ, εὐμήκης τῷ σώματι, βάναυσος τὴν ἐπιστήμην, ἐξ αὐτῆς τὴν ζωὴν πορίζόμενος. καὶ δὴ ἐκ τοῦ ὑποζυγίου τὸν φόρτον περιελόμενος, ἐκάθισε καὶ αὐτὸς ἐπὶ τῇ πηγῇ ἀναψυχόμενος τῷ καύσωνι. ὥρα ἦν ὡσεὶ ἕκτη.

ἔστω. οὕτω οἱ τῶν ἐγγαστριμύθων μύσται, μυοῦνται αὐτῷ κατάρξαι αὐτὸν τῆς Ῥωμαϊκῆς βασιλείας τὰ σκῆπτρα. καὶ δὴ τοῦ Λέοντος ἀναβαλλομένου καὶ διαπορεῦντος, πρὸς τὸ ἀκρότατον τῆς ἑαυτοῦ εὐτελείας ἀφορῶντα, ὅρκοις πληροφοροῦνται ὑπὸ τῶν μισοχρίστων, ὅτι ταῦτα οὕτως δεῖ γίνεσθαι. καὶ δὴ αἰτοῦνται αὐτὸν ὁρκωμοσίας λόγοις πληροφορηθῆναι παρ' αὐτῷ, ἵνα εἰ ἄρα γε εἰς πέρας ταῦτα ἄγοιτο, πᾶν ὁτιοῦν αἰτηθείη αὐτοῖς, παρ' αὐτοῦ ἀνυπερθέτως δοθείη αὐτοῖς. ἦν δὲ παραπλήσιον ναὸς τοῦ ἁγίου μάρτυρος Θεοδώρου· καὶ εὐθὺς ἐπιμάτατα εἰσελθὼν ὁ βάναυσος Λέων, καὶ περικρατὴς γενόμενος τῶν ἱερῶν καγκέλλων τοῦ θυσιαστηρίου, ἔδωκεν ἐγγυητὴν τὸν μάρτυρα Χριστοῦ· ἑστώτων τῶν Ἰουδαίων ἐν τοῖς πυλῶσι τοῦ ναοῦ· καὶ δέχονται τὸν ὅρκον παρ' αὐτοῦ. καὶ εὐθὺς ᾤχετο ἕκαστος εἰς τὰ ἴδια.

vaticinantur, vt Romani Imperij sceptra regat. Cunctari ille ac diffidere qui summam infimæ sortis suæ vilitatem attenderet. Tum Christo exosi, exosumque Christum habentes, etiam atque etiam necessariò hæc euentura iureiurando asserere. Rogantque ipse vicissim iuratam præstet fidem, dum reipsa illa contingant, daturum se nulla mora quicquid illi ab eo petierint. Haud procul autem sancti Martyris Theodori delubrum situm erat, statimque festinatè ingressus Leo fornacarius, ac sacros altaris cancellos tenens, Christi Martyrem promissorum vadem adhibuit; cùm Iudæi ad templi vestibulum starent. Iusiurandum itaque ex illo accipiunt, quo dato ad sua quisque statim abeunt.

Ἦν δὲ τότε τις τῶν ἀνατολικῶν στρατηγίας τὴν ἡγεμονίαν περιέχων πατρίκιος, τοὔνομα Μασισίννιος, στρατολογίας τὴν χώραν περιπολεύων· ἐν οἷς καὶ Λέων ὁ βάναυσος στρατολογηθείς, ἐν ὀλίγῳ χρόνῳ εἰς προκοπὴν μεγίστην ἀναβιβάζεται·
10. 10 σπαθαρικῷ ἀξιώματι προχειρισθείς, ὑπὸ τοῦ αὐτοκράτορος Θεοδοσίου. καὶ δὴ ὑπ' αὐτοῦ εἰς τὰ ἑσπέρια μέρη ἐκπεμφθείς, Καμπανίαν καὶ Ἀμαλφίαν καὶ Νεάπολιν, τότε βαρβαρωσάντων· καὶ καταλαβὼν τὰ ἐκεῖσε ἐν πλωτηρσίοις δρόμωσι τὸν ἀριθμὸν ρκʹ καὶ τροπαιοφόρον νίκην εἰρηνικὴν βραβεύσας, καταλαμβάνει τὰ βασίλεια. καὶ εὐθὺς ὑπὸ τῶν στρατιωτῶν ἀναγορεύεται Καῖσαρ, καὶ αὐτοκράτωρ βασιλεύς· καὶ δὴ Θεοδόσιος ὁ πρᾳότατος βασιλεὺς, προϋπαντᾷ χαριέντως· καὶ

Erat porro id temporis Patricius quidam Orientalium copiarum Dux ac Prætor, nomine Masisinnius, qui militem conscribendi caussa prouinciam obibat. Inter eos Leo quoque fornacarius in numeros relatus tantum breui profecit maximusque euasit, vt Spatharij munere à Theodosio Imperatore augeretur. A quo postmodum ad partes missus Occiduas (Campaniam, Amelphim ac Neapolim, quæ ad Barbaros tum desciuerant) cum classe nauium centum viginti, dignam tropæo victoriam, pacem adeptus, ad aulam rediit: moxque Cæsar ac summus Imperator militum votis acclamatur. Ac sanè Theodosius Imperatorum mitissimus, læto ei vultu obuium venit; detractoque è capite stemmate,

illius capiti imponit. Atque in hunc modum absque strepitu ac turbis, Leo Imperium init. Celeberrima autem Leonis volante fama, non *Ecce Magi ab Oriente cum muneribus Christum adoraturi venerunt*; sed, Ecce MagoIudæi venefici quidam ac incantatores Gazareni aulam repente irrumpentes, auguriorum euentu ac fine læti ingrediuntur. Tum nouo Imperatore dante dexteram, debitum omnino soluendum significant. Ille propensissimè quod debeat, daturum se pollicetur; edicant modò quo tandem modo debiti reus existat. Ad quem illi, Hæc debiti ratio, idque flagitamus, optime Imperator, vt Christi Nazareni ac Mariæ Parentis Imaginem, ab omni Ecclesiæ pictura aboleas; quo nimirum si rem præstiteris in annos centum in progenie tua Imperium perennet: quod si distuleris, planè futurum est, vt velut Artemius & Apsimarus & Anastasius breui occidaris. Porro stolidus ac in fide instabilis, velut angue ambas premente nares ægrè spiritum ducens, quod illi iusserant, se ocyus facturum recipit.

Matth. 2. v. 1.

Μαγοϊουδαῖοι.

Sic igitur palam hæreticus proditus, vulpeculæ pelle assumpta; ac primùm versutè agens, pietatem colere statuebat. Post decem autem exactos annos, hæresim Ecclesiæ aspirat: subiectique populi publica concione, in omnium medio Leonis in morem rugiens, immanis sæuaque bestia ac reipsa leo, dixit, Cum Imaginum expressio idololatricæ artis opus existat, nullo eas cultu prosequendas sancio.

Leonis decretum aduersus sanctas Imagines.

ἄρας τὸ στέφος ἐκ τῆς ἑαυτοῦ κορυφῆς, περιτίθησι τῷ Λέοντι· καὶ οὕτως ἀκλονήτως ὁ Λέων, καὶ ἀνοχλήτως τὰ βασίλεια ἐγχειρίζεται. περιβοήτου δὲ ἐπιφημίαις γινομένου τοῦ Λέοντος, ἐπὶ Ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν ἦλθον προσκυνῆσαι μετὰ δώρων Χριστῷ· ἀλλ' ἰδοὺ Μαγουδαῖοί τινες φαρμακοὶ καὶ ἐπαοιδοὶ Γαζαρηνοὶ ἀθρόως εἰσελαύνοντες εἰς τὰ βασίλεια, πέρας τῶν οἰωνισμάτων, καὶ μαντευμάτων αὐτῶν χαρᾷ εἰσδεχόμενοι. εἶτα ὑπὸ τοῦ νέου ἄνακτος δεξιωθέντες, τὴν ὀφειλὴν ἀποπινύουσιν ἀπαγχώρητα. τοῦ δὲ ἑτοιμότατα ἐπαγγελλομένου διδόναι, Τί ἄρα ἔφη ἐστὶ ταῦτα; οἱ δὲ φασὶ, Τοῦτο αἰτούμεθα παρὰ σοῦ κράτιστε βασιλεῦ, ἵνα τὸν χαρακτῆρα τοῦ Ναζωραίου Χριστοῦ, καὶ τῆς μητρὸς αὐτοῦ Μαρίας, ἐκ πάσης ἐκκλησιαστικῆς ἱστορίας ἀπαλείψῃς· ὅπως τοῦτο ποιῶν, μέλλεις ἄρχειν καὶ βασιλεύειν ἄχρι χρόνων ἑκατὸν ἐν τῇ γενεᾷ σου. εἰ δὲ τοῦτο ὑπερθῇς, 11.
μέλλεις τάχιον ὡς ὁ Ἀρτέμιος ὁ Ἀψίμαρος, ὁ Ἀναστάσιος ἀναιρεθῆναι. ὁ δὲ εὐηθὴς καὶ ἀστήρικτος τῇ πίστει, ὥσπερ ὑπὸ ὄφεως ταῖς δυσὶ μυκτῆρσι πιεζόμενος μηδὲ ἀναπνεῖν ἔτι ἰσχύων, ἑτοιμότατα τὸ προσταχθὲν ἀποτελεῖν ἐπαγγέλλεται.

Τούτου δὲ καταδήλου αἱρετικοῦ δειχθέντος· ἀλωπεκὸς δὲ χρῶμα ἀναλαβὼν, καὶ ὑπούλως πῶς τὰ πρῶτα διεξελθὼν, εὐσεβεῖν διετέλεσε. μετὰ δὲ δέκατον χρόνον, αἵρεσιν ἐμπνεῖ τῇ ἐκκλησίᾳ· καὶ τὸν ὑπ' αὐτὸν λαὸν ἐκκλησιάσας, μέσον πάντων λεοντοειδῶς βρύξας ὁ ἀνήμερος θὴρ καὶ λεοντώνυμος, εἶπεν, Εἰδωλικῆς τεχνουργίας ὑπαρχούσης τῆς τῶν εἰκόνων ἀνατυπώσεως, οὐ δεῖ ταύτας προσκυνεῖν. οὕτως

τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτοῦ, καὶ τοῖχος κεκονιασμένος ἡ τούτου καρδία. οὐ πολὺ δὲ τὸ διὰ μέσου, καὶ ὁ Λέων ὡς ἄνθρωπος ἀπέθανε, καὶ ὡς εἷς τῶν ἀρχόντων πέπτωκε. τούτου δὲ τὸ ζῆν ἀπορρήξαντος, καὶ τοῦ αἰωνίου πυρὸς γεγονότος παρανάλωμα, ἀνέστησεν ἀντ' αὐτοῦ τὸ ἐκείνου μιαρὸν γέννημα, Κωνσταντῖνον φημί. οὗτος οὖν τὸ τῆς πονηρᾶς ἐκείνης ῥίζης δένδρον, δηλητήρια παντοῖα ὀλέθρια τῇ ἑαυτοῦ ψυχῇ θησαυρίσας, περιῄει, συστρέφει, καταστρέφει, πυρπολεῖ ἅπασαν ἁγίαν εἰκόνων θέαν. γνοὺς δὲ τοῦτο ὁ τῆς εὐσεβείας κῆρυξ Γερμανός, δηλοῖ πρὸς αὐτόν, Βασιλεῦ, τοῦ δεσπότου Χριστοῦ καὶ σωτῆρος ἡμῶν Θεοῦ σαρκωθέντος ἐκ τῶν ἀχράντων αἱμάτων τῆς ἁγίας Θεοτόκου, καὶ τελείου αὐτοῦ καθ' ἡμᾶς ὀφθέντος καὶ περιγραπτοῦ, πᾶσα εἰδωλικὴ λατρεία ἐκποδὼν γέγονεν. ἀπὸ δὲ τῆς εἰς ἡμᾶς αὐτοῦ συναναστροφῆς, καὶ τῆς τῶν ἀποστόλων αὐτοῦ κοσμοσώστου διδασκαλίας ἕως τοῦ νῦν, ἔτη ωλϛʹ· καὶ οἱ ἀναμέσον τούτοις τοῖς χρόνοις παρελθόντες ἅγιοι πατέρες, περὶ τῶν ἁγίων εἰκόνων, τοιοῦτόν τι οὐκ ἐνενόησαν· ἀλλὰ καὶ αἱ ἅγιαι ἓξ οἰκουμενικαὶ σύνοδοι ταύτας αἱρεῦσαι, προσκυνεῖσθαι διετάξαντο, καὶ οὐ καταστρέφεσθαι. σὺ δέ, βασιλεῦ, γίνωσκε, ὅτι εἰ τούτου κρατήσειας, ὑπὲρ τῶν σεπτῶν εἰκόνων ἑτοίμως ἀποθανοῦμαι. ἡ γὰρ τοῦ Χριστοῦ εἰκών, τὸ αὐτοῦ φέρει ὄνομα, καθὸ ἐν σαρκὶ ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.

Ταῦτα ἀκούσας ὁ βασιλεύς, καὶ βρύξας ὡς λέων, ξιφήρεις στρατιώτας ἀποστείλας ἐν τῷ πατριαρχικῷ οἴκῳ, πυγμαῖς καὶ ὀνειδισμοῖς κα-

Verè *sepulchrum patens* viri guttur; ac, cor eius *sepulchrum dealbatum*. Nec verè longo interiecto tempore, ipse Leo, quod homo erat, fatis concedit, ac velut procerum vnus cecidit. Ei igitur abrupta vita, & cum inferni pabulum factus esset, sui loco impuram illius sobolem (Constantinum dico) suscitauit. Is igitur, pessimæ illius radicis stolo, omnis generis exitiosa venena animi thesauro accumulans, quicquid sanctarum Imaginum oculis expositum erat, id vero vastat, euertit, destruit, succenditque. Vt cognouit pietatis præco Germanus, sic ei denuntiat, O Imperator, cum Christus Dominus nosterque Saluator ac Deus, ex intemeratis sanctæ Dei Genitricis sanguinibus carnem sumpserit, perfectusque nobis similis visus sit ac circumscriptus, idolorum cultus omnis è medio sublatus tus est. Ex quo autem vnà nobiscum versatus est, ac Apostoli salubri mundum doctrina imbuerunt, nunc vsq; anni octingenti triginta sex effluxerunt, nec his, qui interjectis temporibus vixerunt, florueruntque, sanctis Patrib. vt eiusmodi aliquid de sacris Imaginibus cogitarent, in mentem venit. Quinimò ipsæ sex Synodi, easdem amplexæ, colendas ipsas, non euertendas constituerunt. Te autem, Imperator, non lateat, si sententiam tenueris, pro venerandis Imaginibus propenso animo me mortē opperiturū. Nam Christi Imago illius fert nomen, quatenus in carne visus est, & cum hominibus conuersatus.

His auditis, Imperator, inque leonis morem rugiens, armatos tribunos, in domum Patriarchæ mittens, pugnis ac conuiciis inde san-

Ps. 5. v. 11. Math. 23. v. 27. Psal. 91. v. 8.

De Leone plura in Gregor. II. Papæ Epist. & in Histor. hæres. Monothelit.

Ratione asserta & traditione Imaginũ religio.

Baruch. 3. v. 38.

Germano eiecto, Anastasius Patriarcha hæret.

ctum deturbari iubet. Quo abeunte, ac Monachi vitam ineunte, impium Anastasium militari more Patriarcham præficit, non diuinæ pietatis calculo Antistitem creat. Hic Ecclesiæ omnia, aulæ ac fisco tradidit. Omnem figuram diuinæ Christi Incarnationis sustulit. Itidemque sanctissimæ Dei Genitricis materno iure intercessionem, ac impetrãdi fiduciam ad Deum Verbum ex ipsa incarnatum, superbus diaboli patronus, negans, Sanctorumque intercessiones submouens, necnon diuina Spiritus afflatu cõscriptos sanctorum Patrum libros incendio tradens, religiosumque ac Deo Christoque deuotum Monachorũ ordinem Christo ipse inuisus atq; impius detestans, ac sacras Virgines incestis nuptiis copulans, religiosique instituti insignes vestes comburẽs; sacrorum denique Monachorum venerabilem barbam ac canos honoratos diuinasque pupillas crepitante igne adurens; eiusq; instituti habitũ, tenebrarũ habitũ vocãs ipse animo tenebrosu', in eo merentes viros religiosos, Ecclesiasticæ exortes communionis & idolorum cultores, eius venerationis nomine, quam venerandis Imaginibus adhibebant, nuncupauit. Vniuersi igitur populi publica concione, propositis tum viuifico Christi Corpore ac Sanguine, tum intemeratis Lignis, in quibus nostræ salutis causâ Christus manus extendit, sanctisque Euangeliis, quorum documentis Christus omnino iurare prohibuit, nullam se sanctarũ Imaginum adoraturos sed idolum vocaturos, sacramento obstrinxit: Nulla item vlli Monacho communione iungendos, aut illi prorsus Aue dictu-

Constantini Caballini in Imagines Sanctosq; impietas; atq; in Monachos sæuitia.

Χριστοῦ.

Matth 5 v. 34.

τινὲς καὶ, τὸν ἅγιον τῶν ἐκεῖσε προσέταξεν. οὗ τινος καταλιπόντος, καὶ τοῦ μονήρους βίου συμμετόχου γεγονότος, τὸν ἀσεβῆ Ἀναστάσιον τῇ ἀρχιερωσύνης προβάλλεται στρατιωτικῶς, καὶ οὐ ψήφῳ Θεοῦ εὐσεβείας· ὅς τις τὰ τῆς ἐκκλησίας πάντα τοῖς βασιλείοις παραδίδωσι· πάντα χαρακτῆρα τῆς θείας αὐτοῦ σαρκώσεως περιεῖλεν ὁμοίως· ὡσαύτως καὶ τῆς παναγίας θεομήτορος, τὴν μητρικὴν αὐτῆς πρεσβείαν, καὶ παρρησίαν πρὸς τὸν ἐξ αὐτῆς σαρκωθέντα Θεὸν λόγον ἀπαναινόμενος, ὁ τοῦ ὑπερηφάνου διαβόλου ὑπερασπιστής, καὶ τὰς τῶν ἁγίων πρεσβείας ἀποσειόμενος· τάς τε τῶν ἁγίων πατέρων θεοπνεύστους βίβλους πυρκαϊᾷ ἐμβαλών· τό, τε εὐσεβὲς καὶ φιλόχριστον τῶν μοναζόντων τάγμα μισόθεος ὁ μισόχριστος· τόν, τε ἱερῶν παρθένων κατάλογον γαμικοῖς συναλλάγμασι περιζευγνύων, τὰ εὐλαβείας τὰ ἐνδύματα πυρὶ κατακάων, τὴν τῶν ἱερῶν μοναστῶν σεβασμίαν γενειάδα, καὶ πολιὰς αἰδεσίμους, καὶ τὰς θείας κόρας, βρομώδει κατακαίων πυρί· σκοτίας δὲ σχῆμα τοῦτο καλέσας, ὁ τῇ ψυχῇ ἐσκοτισμένος, τοὺς ὑπ' αὐτὸ τὸ σχῆμα καταλεγομένους, ἀκοινωνήτους ἐκάλεσε καὶ εἰδωλολάτρας, διὰ τὴν πρὸς τὰς σεπτὰς εἰκόνας προσκύνησιν. ἅπαντα δὲ τὸν ὑπ' αὐτὸν λαὸν ἐκκλησιάσας, ὀμόσαι πάντας πεποίηκε, προτεθειμένων τοῦ, τε ζωοποιοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ, τῶν, τε ἀχράντων ξύλων, ἐν οἷς Χριστὸς ὑπὲρ ἡμῶν χεῖρας ἐξέτεινε, καὶ τῶν ἁγίων εὐαγγελίων, δι' ὧν Χριστὸς παρακελεύεται ἡμᾶς μὴ ὀμόσαι ὅλως, μὴ προσκυνῆσαι εἰκόνας ἁγίας, ἀλλὰ ταύτας εἰδωλοκαλεῖν· μήτε ἐξ ἀββᾶ κοινωνῆσαι, ἢ τὸ χαίρε

τοσούτον δοῦναι αὐτῷ. ὢ τῆς ἐρημίας. ὁμοιότροπον δὲ καὶ ὁμόηχον εὑρὼν ὄργανον· οὐ μὴν ἀλλὰ καὶ ὁμώνυμον καὶ ὁμόφρονα τινὰ τοῦ ἱερατικοῦ καταλόγου, τοῦτον ἐπὶ τὴν ἐκκλησίαν ἐπάρας, οὐχὶ Θεοῦ καὶ ἱερέων ψήφῳ, ἀλλὰ τῇ αὐτῇ πανουργίᾳ· τῶν ἀμφοτέρων ἐν τῷ ἄμβωνι ἀνελθόντων, ὑπὸ τῶν τοῦ βασιλέως χειρῶν Κωνσταντίνου Κωνσταντῖνος τὴν ἱερὰν ὁ ἀνίερος ἐνδιδύσκεται στολὴν καὶ τὸ ὠμοφόριον. ὢ τῆς ἀναξίας. ὁ ἀσπιδοφόρος ἱεροθέτης· καὶ ὁ πολέμοις καὶ φόνοις ἐσχολακὼς, ἱερουργός· καὶ ὁ τρισὶ γυναιξὶ παρανόμως συζευχθεὶς, τῶν ἱερέων χειροτονητὴς καθίστατο.

Ἐκ τούτου οὖν συμπλεχθείσης τῆς μιαρᾶς ξυνωρίδος ὡς παρανόμου σειρᾶς, προσγράμματα κατὰ πᾶσαν ἐπαρχίαν ἐπέμπετο πρὸς τοὺς κατὰ χώραν ἀρχιστρατήγους, σὺν ἐπισκόποις τὴν βασιλεύουσαν καταλαβεῖν, πρὸς τὸ σύνοδον γενέσθαι κατὰ τῶν σεπτῶν εἰκόνων. τοῦ δὲ τυράννου τὸν σεβάσμιον τῆς παναχράντου Θεοτόκου τὸν ἐν Βλαχέρναις χαρακτῆρα κατορύξαντος, σύνοδον ἀθετούντων ψευδοϊερέων ἐν αὐτῷ τῷ πανσέπτῳ ναῷ ὁ ἀλιτήριος προκαθεσθεὶς ἅμα τῷ ὁμωνύμῳ προδότῃ τῆς τοῦ Χριστοῦ ποίμνης, τὴν μυσαρὰν καὶ ἐχθρὰν ἐπιτελοῦσι σύνοδον, ἀγαλματικὰ εἴδωλα τὰς σεπτὰς εἰκόνας καλέσαντες. οὕτω Γερμανὸν τὸν θεῖον καὶ ὀρθότιμον τῆς ἐκκλησίας ἀναθεματίσαντες, ξυλολάτρην ἀπεκάλουν. ὢ τῆς τῶν ἐχθρῶν πηρώσεως. ὢ τῆς βλασφημίας. ὢ τῆς διαστροφῆς. πάντα ἄλλα δὲ αὐτῶν βλασφημησάντων, τὸ τελευταῖον καὶ πάντων χεῖρον, ἠλάλαξαν τὴν ἐκείνην ἐκείνην οἱ μιαροὶ ἀνίεροι ἐκείνοι φωνὴν, καὶ

ros. Nactusq; iisdem secum moribus ac idem strepens organum; quin ipsi quoque cognominem ac idem ac ille sentientem sacerdotalis ordinis hominem, eum in Ecclesia, non Dei ac Sacerdotum suffragio, sed ipse sua vafritie Antistitem prouehit: conscensoque ambobus ambone, Constantini Imperatoris manibus, sacram prophanus Constantinus tunicam, summique insigne Sacerdotij, pallium, induit. O rem indignam! Qui scutum ferret, ipse sacrorum institutor; quique bellis ac cædibus dederat operam, ipse Sacerdos; qui denique tribus illegitimè vxoribus iunctus fuerat, is Sacerdotum ordinator erat.

Constantinus hæreticus Patriarcha.

Hinc igitur sceleratæ instar catenæ, impura complicata biga, in omnem edicta missa prouinciā ad summos in eis præsides, vt cum Episcopis, ad Synodum aduersus venerandas Immagines celebrandam ad Augustam vrbem conueniant. Veneranda itaque intemeratissimæ Dei Genitricis figura, quæ in Blachernis erat, à Tyranno effossa, pseudo-sacerdotum contemptorum ac præuaricatorum in eodem venerabilissimo templo, scelestissimus idem vnà cum eiusdem secū nominis Christi gregis proditore præsidens, execrandam illam inuisamque Synodum celebrant, ac venerandas Imagines simulacrorum idola vocitant. Tum diuinum, rectæque Ecclesiæ fidei professorem Germanum, anathemate confodientes, ligni cultoris titulo infamabant. O hostis cæcitatem! ô blasphemiam! ô peruersionem ac errorem! Ac demum cum plurima blasphemo ore iactassent, ad extremum, quod cunctis deterius

Copronymianæ Synodi apparatus.

Germanus in ea deuotus.

Iconoclastarũ mala gloriatio ac calumnia.

est, miserabilem quoque illam vocem impuri illi atque profani vlulatu extulerunt, dixeruntque: *Hodie salus mundo illuxit, quòd Tu, Imperator, ab Idolis nos liberaueris.* O diram vocem, cuius strepero sonitu cœlum caligine obductum, concussa terra, pollutus æther; ac qui in eam clamore eruperunt omnes, à Deo facti extranei. Planè *Stultus stulta loquetur, ac cor eius vana cogitabit.* Ob eas enim impij Tyranni ac Christianissimi Imperij purpura indigni, sic blasphemas voces, cœlestia terræ ingruere fulmina: stellas non ferentes Domini iniuriam, in terram cadere: elementa moueri ac agitari: terram turbari ac quati: continui terræ motus, terrores ac signa è cœlo. Ipse miserabilis, expectatæ iræ pauore profugus sedesque mutans, Nicomediam proficiscitur. Quisnã enim Diocletianus aut Maximianus, seu Trajanus, tam mali ominis iniuriosaque in Christianos vnquam designauit, quàm hic iste Christiani indignus nominis? Venit itaque dies iudicij, atque hunc diuina vltio præuenit. Ipseque de seipso testis locupletissimus. Cum enim supremum spiritum traheret, ejulatu exque imis gemitu vociferatus, Hęc, inquit, sunt gehennæ initia, ac inferni vestibula. Quid igitur maioris fidei afferri queat ipsa illius voce? pro eo scilicet, quod non cognouit tempus visitationis suæ. Planè enim vanitatis modum omnem excedente blasphemia Christi Ecclesiam compunxit, qui Christianos idolorum cultores appellauit.

Isai 32. v. 6.

Copronymi in extremis eiulatus diuinæque vltionis confessio.

Luc. 19. v. 44.

Verùm illius proles Leo alter Imperij successor, summa tranquillitate ac pace res administrans, ingentẽ

εἶπον, Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι σὺ, βασιλεῦ, ἐλυτρώσω ἡμᾶς ἐκ τῶν εἰδώλων. ὢ φωνῆς ὀδυνηρᾶς, ἥ, τις ἐκβουβηθεῖσα, οὐρανὸν κατεζόφωσε, καὶ γῆν συνέσεισεν· αἰθέρα τε ἐμίανε, καὶ πάντας τοὺς αὐτὴν κεκραγότας, Θεοῦ ἀλλοτρίους ἐποίησεν. οὕτως ὁ μωρὸς μωρὰ λαλήσει· καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει. διὰ γὰρ τὰς τοιαύτας βλασφημίας τοῦ ἀθέου τυράννου, καὶ ἀναξίου τῆς Χριστιανικωτάτης ἁλουργίδος, οὐράνιοι κεραυνοὶ κατέσκηψαν ἐπὶ γῆς· τὰ ἄστρα μὴ φέροντα τὴν δεσποτικὴν ὕβριν, εἰς γῆν κατέπιπτον· στοιχεῖα ἐδονεῖτο, γῆ ἐκλονεῖτο ταραττομένη, σεισμοὶ ἀλληπάλληλοι, φόβητρα καὶ σημεῖα ἐξ οὐρανοῦ. αὐτὸς ὁ δείλαιος δεδιὼς τὴν καραδοκουμένην ὀργὴν, φυγὰς καὶ μεταναστὰς, ἐπὶ τὴν Νικομηδέων πόλιν ᾤχετο. ποῖος γὰρ Διοκλητιανὸς, ἢ Μαξιμιανὸς, ἢ Τραϊανὸς, τὰ τοιαῦτα εἴργασται κατὰ Χριστιανῶν δυσφημήματα, ὡς ὁ ἀνάξιος τῆς Χριστιανικῆς προσηγορίας. ἡμέρα γοῦν κρίσεως παρέστη, καὶ τοῦτον ἡ θεία δίκη προέφθασε. καὶ μάρτυς ἀξιόπιστος αὐτὸς περὶ ἑαυτοῦ. ἔτι γὰρ περὶ τὰ ἔσχατα πνέων, ὀλολύζων ἠλάλαξεν ἐν μεγάλῃ βοῇ, Τάδε, λέγων, τὰ προαύλια τῆς γεέννης. τί οὖν ἀξιοπιστότερον τῆς ἐκείνου φωνῆς, ἀνθ' ὧν οὐκ ἔγνω τὸν καιρὸν τῆς ἐπισκοπῆς αὐτοῦ. ὑπέρογκα γὰρ ματαιότητος ἐβλασφήμησε κατὰ τῆς ἐκκλησίας Χριστοῦ, εἰδωλολάτρας τοὺς Χριστιανοὺς ἀποκαλῶν.

Ἀλλὰ τούτου ὁ βλαστὸς καὶ ὁ καὶ δεύτερος Λέων τὴν ἀρχὴν τῆς βασιλείας διαδεξάμενος, γαληνικα-

πάτῃ, καὶ εἰρηναίᾳ διαγωγῇ, τὸν πολυτάραχον κλύδωνα τῆς ἐκκλησίας μετήνεγκεν, ὡς ἐκ ζάλης καὶ τρικυμίας ταύτην ψυχαγωγήσας· οὗ τινος καὶ ἡ ζωὴ, καὶ ἡ ταφὴ ἐν Εἰρήνῃ τῇ φερωνύμῳ συζύγῳ διατετέλεσται. αὖθις πάλιν νέα Ἑλένη, καὶ νέος Κωνσταντῖνος υἱὸς Εἰρήνης, ὡς ῥόδον καὶ κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν ἐκφυῶντες, ὡς ἐξ Ἑλληνισμοῦ καὶ Ἰουδαϊσμοῦ τὸ Ῥωμαϊκὸν πολίτευμα ἀνακαλοῦνται· μεθ' ὧν καὶ ὁ νέος Σίλβεστρος ὁ μέγας καὶ ἀοίδιμος πατριάρχης Ταράσιος, ἁγίαν οἰκουμενικὴν σύνοδον συγκροτήσας, πᾶσαν αἱρετικὴν φρενοβλάβειαν διεσκέδασεν· ὅτι Πνεῦμα Θεοῦ ἅγιον ἦν ἐπ' αὐτῷ. ὡς φωστῆρες ἐν κόσμῳ φαίνοντες, καθὼς παρέδωκαν τῇ ἐκκλησίᾳ οἱ ἀπ' ἀρχῆς αὐτόπται, καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου θεσπέσιοι καὶ μακάριοι ἀπόστολοι, καὶ οἱ θεοφόροι ἅγιοι πατέρες, καὶ αἱ θεόπνευστοι καὶ οἰκουμενικαὶ ὀρθόδοξοι σύνοδοι, πάντα σωτήρια καὶ ζωοποιὰ τοῦ Χριστοῦ σύμβολα κατέχειν τε καὶ σεβάζεσθαι ἐθέσπισαν. καθὼς φησὶ τὸ θεῖον λόγιον, Δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν με τὴν φωνήν σου· ὅτι ἡ ὄψις σου ὡραία, καὶ ἡ φωνή σου ἡδεῖα. οὐκ ἔστι παρὰ Χριστιανοῖς Θεὸς πρόσφατος, οὐδὲ προσκυνεῖται παρ' αὐτοῖς Θεὸς ἀλλότριος· ὅτι, Τίς Θεὸς πάρεξ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἢ τίς Θεὸς πλὴν αὐτοῦ. ποῦ εἰσιν οἱ Χριστιανοκατήγοροι, οἱ ἱεροκατήγοροι, οἱ ἑαυτοὺς τῆς Χριστωνύμου κλήσεως ἀποξενώσαντες· οἱ ἑαυτοὺς τῆς μελλούσης ἐλπίδος τῶν Χριστιανῶν ἀπελπίσαντες· οἱ πλανώμενοι ἀπὸ μήτρας τῆς θείας κολυμβήθρας ἁμαρτωλοὶ ἄνθρωποι. τὰ χείλη τὰ δόλια τὰ λα-

illam, Ecclesiæ procellam sedauit; quasi ab æstu ac decumanis fluctibus serenitate eam recreans. Eius tum vita, tum sepultura in Irene coniuge sic verè ex nominis dicta ratione (id est, pace) consummata est. Rursus itaque noua Helena, nouusque Constantinus Irenes filius, velut rosa aut lilium inter medias nati spinas, quasi ex Græcanicæ ac Iudaïcæ superstitionis ritu, Romanum postliminio Imperium reuocat; quibuscum etiam nouus Siluester Magnus ille atque inclytus Patriarcha Tarasius, sanctam Oecumenicam Synodum congregans, hæreticam omnem dissipauit dementiam; eo nimirum quod Spiritus Dei sanctus erat in eo. Sicut luminaria in mundo *lucentia*; quemadmodum tradiderunt Ecclesiæ, qui ab initio ipsi viderunt, ac Sermonis ministri extiterunt, diuini ac beati Apostoli, Deoque pleni sancti Patres ac Spiritus sancti afflatu locutæ Vniuersales Orthodoxæ Synodi, salutaria omnia ac viuifica Christi symbola retinenda ac venerationi habenda, sanxerunt; iuxta quod ait diuinum oraculum, *Ostende mihi faciem tuam, fac me audire vocem tuam; facies enim tua decora, & vox tua dulcis.* Non est apud Christianos Deus recens, neque adoratur apud eos Deus alienus: nam, Quis est Deus, præter Dominum nostrum Iesum Christũ; aut quis Deus præter eum? Vbi sunt illi Christianorum, vbi Sacerdotum reprehensores; ij scilicet, qui à Christiani nominis appellatione extorres se fecerunt? qui abs se futuram Christianorum spem abdicarunt? qui à diuina piscinæ vulua errauerunt, scelesti homines? labia dolosa,

Tarasij laus.

Dan.4.v.15
Phil.2.v.15.

Cant.2.14.

Ps 17.v.32.

Psal. 80.v.10.

Psal 57.v. v.4.

Psal. 30. v. 19. quæ loquuntur aduersus Deum, & aduersus Ecclesiam Catholicam in superbia & contemptu? qui diuinam omnem Scripturam atque vtilem deprauant secundum desideria sua? *Hebr. 10. v. 19.* qui Filium Dei conculcauerunt, & sanguinem Testamenti pollutum duxerunt, in quo sanctificati sunt; & Spiritui sancto, in quo ordinati sunt, contumeliam fecerunt? falsi Sacerdotes, falsique Christiani; qui sanctam mundamq; Christi Ecclesiam, mensam pollutam appellauerunt? qui nesciant, quid sanctum inter & profanum, inundum & immundum referat? *2. Ioan. 12.* Cùm plura scribere operæpretium videatur, non possumus per atramentum & chartam. Verùm ad propositum reuertamur.

Nicephorus Imperator, Nicephorus Patriarcha. Rursus velut à victoria congruè appellato Nicephoro, inter Christianos Imperatores religiosissimo, ac rectæ fidei cultore Dei famulo: perinde filiis pietatis hæredib. pariter ac Imperij successoribus, firmam ac inconcussam Christo seruantibus fidem, Magno Antistiti Patriarchæ Nicephoro, munda & incontaminata Ecclesia deposito tradita, non habens maculam neque rugam. *Eph. 5 v. 27.* Verùm rursus, pro eo ac nomen ipsum sonat, impietatis bestia, tanquam leo rapiens & rugiens nobis ingruit. *Leo Armenus, alter Hæresis Iconoclastarum instaurator.* Vt autem ingrueret, exitiosæ animis hæreseos sæua lues, causa eiuscemodi fuit. Michaële & Theophylacto religiosissimis piissimisque viris Imperij clauum moderantibus, ac cùm Dei Ecclesia, summa tranquillitate frueretur, cunctique Præsules, quietam ac pacatum vitam vnà cum Sacerdotibus ac reuerentibus Monachis in omni pietate ac morum honestate agerent; qua id ratione, haud

λαλοῦντα κατὰ τοῦ Θεοῦ, καὶ κατὰ τῆς καθολικῆς ἐκκλησίας ἀνομίαν, ἐν ὑπερηφανείᾳ καὶ ἐξουδενώσει· οἱ πᾶσαν γραφὴν θεόπνευστον καὶ ὠφέλιμον στρεβλοῦντες κατὰ τὰς ἰδίας ἐπιθυμίας· οἱ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσαντες, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενοι, ἐν ᾧ ἡγιάσθησαν· καὶ τὸ πνεῦμα τῆς χάριτος, ἐν ᾧ ἐχειροτονήθησαν ἐνυβρίσαντες. οἱ ψευδοχριστιανοί· οἱ τὴν ἁγίαν καὶ καθαρὰν Χριστοῦ ἐκκλησίαν, τράπεζαν ἠλισγημένην ἀποκαλέσαντες· οἱ μὴ εἰδότες διαφορὰν ἁγίου καὶ βεβήλου, καθαροῦ καὶ ἀκαθάρτου· πολλὰ ὤφειλον γράψαι, ἀλλ᾽ οὐκ ἰσχύομεν διὰ μέλανος καὶ χάρτου. ἀλλ᾽ ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

Αὖθις ὁ φερώνυμος Νικηφόρος ὁ ἐν βασιλεῦσι τοῦ Χριστοῦ εὐσεβέστατος, καὶ ὀρθόδοξος θεράπων· ὡσαύτως καὶ οἱ τῆς εὐσεβείας υἱοὶ καὶ τῆς βασιλείας διάδοχοι, βεβαίαν καὶ ἀσάλευτον τὴν πίστιν διατηρήσαντες τῷ Χριστῷ, καὶ τῷ μεγάλῳ ἀρχιερεῖ πατριάρχῃ Νικηφόρῳ, παρέδοντο τὴν ἐκκλησίαν καθαρὰν καὶ ἀμίαντον, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα. ἀλλ᾽ αὖθις πάλιν ἡμῖν φερώνυμος τῆς δυσσεβείας θὴρ, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος ἐνέσκηψεν. ἡ δὲ λύμη τῆς τοιαύτης ψυχοφθόρου αἱρέσεως τοιᾶδε προφάσει ἐνέσκηψε. Μιχαὴλ καὶ Θεοφυλάκτου τῶν θεοφιλεστάτων καὶ εὐσεβεστάτων ἀνδρῶν τὰ βασίλεια ἰθυνόντων, καὶ τῆς ἐκκλησίας τοῦ Θεοῦ πάσης ἐν βαθυτάτῃ γαλήνῃ· καὶ τῶν ἱεραρχῶν πάντων ἔτυχεν καὶ ἠρεμαῖον βίον σὺν τοῖς ἱερεῦσι καὶ εὐλαβέσι μοναχοῖς διαγόντων ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι· ἰσως εἰπεῖν, τίνας ξενοφανεῖς εἰσ-

δύεις

ἦν ὡς τὴν πανευδαίμονα πόλιν γυναικός τινος τῶν ἐγχωρίων τετοκυίας βρέφος· τὰ μὲν ἄνω μέλη τοῦ σώματος ἕως τοῦ ὀμφαλοῦ εἶχε πάντα παιδός· τὰ δὲ ὑποκάτω, θηρίων ἀγρίων, λεόντων καὶ παρδάλεων καὶ λύκων. καὶ τούτων μὲν ἦσαν αἱ μορφαὶ κινούμεναι, ὥστε γινώσκειν ἑκάστου τὸν σχηματισμόν. ἀλλά γε ἑαυτῇ ἡ ἐγγαστρίμυθος ὑπὸ τοῦ ἐν αὐτῇ φθεγγομένου πνεύματος Πύθωνος ἐνεργείᾳ, τὴν τῶν βασιλέων ταχεῖαν ἀναδοχὴν τερατεύεται. καὶ δὴ ὁ φιλόχριστος βασιλεὺς τὸ ἐβδελυγμένον τοῦτο γύναιον παραδίδωσιν εἰς φρουρὰν ἀσφαλῆ ἑνὶ τῶν οἰκείων αὐτοῦ καὶ μυστικῶν αὐτοῦ θεραπόντων. καὶ δή τις τῶν ἀφανῶν, καὶ εὐτελῶν τῆς πόλεως τοὔνομα Ἰωάννης, Ἀναγνωστικῷ βαθμῷ τῇ σεβασμίᾳ μονῇ τῆς ἁγίας Θεοτόκου τῶν λεγομένων Ὁδηγῶν σχολάζων, παρρησιασάμενος τῇ ἐγγαστριμύθῳ, μυεῖται αὐτῷ τὴν τῶν ἐσομένων πρόγνωσιν· τήν τε τοῦ βασιλέως ἐναλλαγήν· καὶ τῆς διαδοχῆς τῆς βασιλείας ἀποκατάστασιν· μεγάλην τε καὶ ὑπερφυῆ καὶ τριάκοντα χρόνους ἐν εὐημερίᾳ καὶ τροπαιοφόρῳ νίκῃ διαβιῶναι, εἰ ἄρα γε τὴν τῶν ἱερῶν εἰκόνων καθαίρεσιν τέλειον ποιήσας, τὸ μνημόσυνον αὐτῶν παντάπασιν ἐξαφανίσῃ. Λέων δὲ ἔσται τὸ ὄνομα αὐτοῦ, ἐξ Ἀρμενίων ἀγχιστείας καταγόμενος. καὶ δὴ φησὶ χρησμῳδεῖ, καὶ τὸν συμμύστην Ἰωάννην, ὡς μεγίστης ἀξιωθήσεσθαι τιμῆς παρ' αὐτοῦ τοῦ Λέοντος, καὶ ὑψωθήσεσθαι, καὶ μετεωρισθήσεσθαι σφόδρα σφόδρα ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, ὡς οὐδεὶς ἄλλος τῶν κατ' αὐτὸν προβεβηκότων.

Καὶ δὴ Λέοντος πατρικίου ὄντος,

haud ſcio, portentum quoddam aſpectu nouum ac ſtupendum, beatiſſimam Vrbem intrauit: cùm mulier quædam ex indigenis prolem edidiſſet; membris quidem ſuperioribus corporis ad vmbilicum vſque humana forma; quæ tamen ſubter poſitis partibus feras beſtias, leones, pardales lupoſque referret Mouebantur horum formæ, vt cuiuſque geſtus atque habitus dignoſceretur. Cæterum mulier, aërei in ea loquentis ſpiritus Pythonis vi, celerem ſibi ipſa Imperatorum ſucceſſionem auguratur. Interim verò Chriſti cultor religioſiſſimus Imperator, abominabilem illam mulierculam, vni ex domeſticis ac ſecretioribus famulis tuta ſeruandam cuſtodia tradit. Vir autem quidam obſcurus, exque vili plebecula Ioannes nomine Lectoris gradu in venerabili ſanctæ Dei Genitricis Monaſterio, quod Hodegûm vocant, priuatus agens, bene de Pythoniſſa fretus illique conſilium credens, ex ea diſcit quæ ſint euentura; alium ex alio mutandum Imperatorem, Imperiique futuram ſucceſſionem. Magno eximioq; principatu potiturum, atque annos triginta fortunatiſſimũ victurũ hoſtiũq; tropæis inclytũ; modò tantum ſacris Imaginibus perfectè abolitis, earum prorſus memoriã omneque monumentũ ſuſtulerit. Leonem ait vocatum iri, atque ex Armeniis genus tracturũ. Sed & ſymmiſtæ Ioãni Lectori vaticinatur, maximo honore ab eodẽ Leone augẽdũ & ſubleuãdũ ac clarificandũ; valdeq; prorſus excelſum futurũ, ſupraq; omnem principatũ & poteſtatẽ, quanta nemo æqualium ante gloria prouexerit.

Mulieris partus mõſtruoſus.

Ipſa Pythoniſſa.

Leonis Armeni Icoclaſtæ Pythonico ſpiritu prædictum Imperium.

Leo itaque Patricius, Orienta-

lium Prouinciæ Dux ac Prætor, in beata tum Vrbe cùm versaretur, Nicephorus quidam nominis quadam
Κιννάρειος. deriuatione Cynarius (velut Catellum dicas) appellatus, hæc eum Pythonissæ vaticinia docet. Sed & alius quidam circulator falsus Eremita Nicephori eiusdem opera, Leoni Patricio adhibetur, cum eo sermonem collaturus. Hicque adeò affinia & ipse docet, pariáq; ventriloquæ portenta denuntiat. At ille, qui sæculi amator esset, ac gloriæ studeret, accenso mentis desiderio exque animo hæc se facturum iureiurando inuiolabili affirmauit: ita scilicet, cùm animo conditam impietatis scintillam haberet.

Leo itaque Imperij sceptris potitus, impiorum illo superiorum Imperatorum, Leonis ac Constantini ex Isauris genus ducétium abundantius æmulator ac imitator efficitur; qui scilicet annos longè plures rerum domini fuerant, rebusque bello strenuè gestis, hostium Barbarorum audaciam fregerant; atque bonorum affluentia faustos beatosque dies duxerant. Cœpit ergo scrutari scrutationes, nempe vaticinia quædam & Astrologos Mathematicos, qui velut ex tripode eius generis illi oracula ederent. Accersitoque Basilio quodam Chartulario eius, quam Exattesem vocant (velut dicas suspensionem seu alligationem) homini rem credit. Is porro rei familiaris angustiis velut seruus dedititius, imperata se facturum pollicetur. Inuento itaque viro quodam Salabriensi, homine vago ac nusquam consistente, in cauponis rerumque venalium foro, in diuinationibus & auguriis versan-

καὶ στρατηγοῦ τῶν τῶν ἀνατολικῶν ἐπαρχίας, ἔνθεν αὐτοῦ ὄντος ἐν τῇ εὐδαίμονι, Νικηφόρος τις 13 ὁ παρωνύμως Κιννάρειος λεγόμενος, μυεῖται τῷ Λέοντι τὰ τῆς ἐγγαστριμύθου μαντεύματα. καὶ ἄλλος δέ τις τῶν κυκλαρίων ψευδερημιτῶν, ψευδολογίαις καὶ μαντεύμασι τὸν ἀπειρόκακον λαὸν διαχλευάζων, διὰ τοῦ αὐτοῦ Νικηφόρου εἰσάγεται τῷ Λέοντι πατρικίῳ· καὶ οὗτος μυεῖται αὐτῷ τὰ παραπλήσια καὶ ἰσάμιλλα τῆς ἐγγαστριμύθου τερατεύματα. ὁ δὲ φιλόκοσμος καὶ φιλόδοξος αὐτὸς διαπύρῳ διαθέσεως καρδίᾳ, ταῦτα μεθ' ὅρκου ποιεῖν ἀμεταθέτου ἐβεβαιώσατο· ἔχων ἐγκάρδιον ἐγκεκρυμμένον τῆς ἀσεβείας τὸν σπινθῆρα.

Καὶ δὴ τοῦ Λέοντος τὰ βασίλεια σκῆπτρα κεκρατηκότος, περισσότερος ζηλωτὴς καὶ μιμητὴς γίνεται τῶν προβεβηκότων δυσσεβῶν ἀνάκτων, Λέοντος καὶ Κωνσταντίνου, τῶν Ἰσαύρων ἀγχιστείας γεγονότων, καὶ πολυχρονίοις ἔτεσιν ἐν τῇ βασιλείᾳ διαρκεσάντων· τοῦτο μὲν γὰρ ἀνδραγαθήμασι, καὶ τοῦτο μὲν βαρβάρων θράσος καταβαλόντων· εὐθηνίαις τε καὶ εὐημερίαις βεβιωκότων. καὶ δὴ ἤρξατο ἐξερευνᾶν ἐξερευνήσεις, μαντείας τινὰς καὶ μαθηματικοὺς ἀστρολόγους, τοιαῦτα αὐτῷ χρησμῳδεῖσθαι. καὶ προσκαλεσάμενος Βασίλειόν τινα 14 χαρτουλάριον τῆς λεγομένης Ἐξαρτήσεως, 14.
θαρρεῖ αὐτῷ τὰ τοῦ πράγματος. ὁ δὲ, ἐν ἀμηχανίᾳ γεγονὼς, ὡς δοῦλος ὑπήκοος ποιεῖν τὸ κελευσθὲν ἐπαγγέλλεται. καὶ δὴ εὑρὼν τινὰ ἄνδρα τῶν ἐπιχωρίων Σαλαμβρείας, ὧδε κἀκεῖσε πλανώμενον, ἐν καπηλείοις καὶ κυκλεύμασι, μαντείαις τε καὶ οἰωνίσμασι καὶ μᾶλλον τῶν βασιλέων περιηγμένον μυεῖσθαι,

Σαββάτιον οὕτω λεγόμενον, ὑποτίθεται αὐτῷ πάντα τὰ καταθύμια τοῦ βασιλέως χαρίσασθαι. καὶ δὴ περιβαλὼν ἑαυτοῦ ὁ Σαββάτιος ἅλυσιν μεγίστην τοῦ τραχήλου, καὶ σιδηροπέδαις ἑαυτὸν περισφίγξας, περικλείει ἑαυτὸν ἐν τοῖς τοῦ Δαγιστέως μεγάλου λουτροῦ τῶν καμίνων κρύφοις. καὶ δὴ ὁ Βασίλειος τὰ βασίλεια καταθύμια τάχιον ἐκπληρῶν, προσάγει αὐτὸν τῷ μάντει τῆς Πύθωνος. νὺξ δὲ βαθεῖα ἦν, καὶ σκότος ψηλαφητόν. καὶ ἰδοὺ ὁ ὑπὸ στρατοπέδων δορυφόρων φρουρούμενος βασιλεὺς, μεμονωμένος γυμνὸς καὶ ἄοπλος σὺν τῷ Βασιλείῳ παραγίνεται ἐν ὑπογείοις καὶ καταχθονίοις ἀμειδέσι τόποις, ὥς ποτε Ἰουλιανὸς ὁ παραβάτης, ὑπὸ τοῦ μαθηματικοῦ Ἑβραίου τῷ διαβόλῳ σπονδιζόμενος. ὢ πῶς ἀπώλετο ἡ σοφία τῶν σοφῶν. ὢ πῶς ἠθέτηται ἡ σύνεσις τῶν συνετῶν. ὢ πῶς οἱ θέλοντες εἶναι σοφοὶ ἐμωράνθησαν. τί οὖν ὁ μέγας καὶ ἔνδοξος καὶ φοβερὸς βασιλεύς. προσκυλινδεῖται τοῖς ποσὶ τοῦ Πύθωνος· χρησμῳδίας αἰτεῖται, ὥσπερ ὁ Ἀλέξανδρος ποτὲ μετὰ Κανδαύλου συμψύχου αὐτοῦ εἰσελθὼν εἰς τὸν Σέραπιν, ὥστε μαθεῖν τὰ ἀποβησόμενα. καὶ ὁρᾷ τινὰς ἀστράπτοντας ἐκ τῶν ὀφθαλμῶν ἀνακειμένους· ἕνα δὲ λέγοντα αὐτῷ, Χαίροις Ἀλέξανδρε, οἶδας με τίς εἰμι; ὁ δὲ, Πῶς

15. κύριε. ὁ δὲ μάγος 15, Ἐγώ εἰμι Σεσοὺχ ὁ σεισμοκράτωρ βασιλεύς· οὐ τοσοῦτον δ' εὐτύχησα, ὅσον σύ· καὶ γὰρ ἔσχες ὄνομα ἀθάνατον. ὁ δὲ, Πῶς κύριε. ὁ δὲ λέγει, Εἴσελθε ἔνδον ἵνα θεάσῃ τὸν προστάτην. εἰσέρχεται Ἀλέξανδρος ἔνδον, ὁρᾷ ὁμίχλην πυραυγῆ, καὶ κα-

te (Sabbatus huic nomen erat) ab eo auditurus quæ futura Imperatores manerent, ſuadet, vt cũcta ad gratiam Imperatori loquatur, & quæ illi ex animo ſint. Sabbatius igitur graui pondere catena collo alligata, ferreiſque vinculis conſtrictus pedes, in Dagiſtei maioris balnei caminorum cupis ſeſe includit. Baſilius autem, vt quod Imperator maximè cupiebat celerius expleret, ad Pythoniſſæ vatem eum adducit. Profunda nox erat, tantæque tenebræ quas & palpare liceret. Enque tibi militum ſatellitio ſtipari ſolitus Imperator, ipſe ſolus, nudus, inermis, vno Baſilio comite, loca ſubterranea, inferna, obſcura, velut olim Iulianus ille præuaricator, Hebræo Mathematico ſpõſore cum diabolo fœdus icturus irrumpit. O quomodo ſapientum euacuata ſapientia! O quomodo ſtulti facti ſunt, qui videbantur eſſe ſapientes! Quid ergo magnus ille gloria inclytus ac formidabilis Imperator? Aduoluitur arioli pedibus; rogat oracula, velut olim Alexander cum Candaulo viro vnius ſecũ animi, Serapidis penetralia ingreſſus, ad exquirendum quæ eſſent euentura. Videtq; accumbentes quoſdam micantibus oculis, ex quorum caterua vnus quis in hæc verba alloquitur, Salue ſis, Alexander: méne noſti quis ſim? Ad quem ille, Quomodo, Domine? Cui Magus, Ego ſum Seſuch Rex terræmotus arbiter: me autem fortunatior ipſe extitiſti, qui nomen immortale nactus es. Ad quem Alexander, Quomodo, Domine? Cui ille, Intus ingredere vt videas qui tibi patronus ac defenſor ſit. Intus ergo ingreſſus, ignis fulgore micantẽ nubem videt, inque throno ſedentem,

quem olim Serapidem in Rhacuntide, diuinis honorib. à mortalib. frequentari conſpexerat. Aitque Alexander. Domine, quot annos victurus ſum? Cui Serapis, Præſtat qui mortalis exiſtat, neſcire quonam die moriturus ſit. qui enim diei illius expectatione ſuſpenſus eſt, quo ex die didicit, mortuus eſt. At, quòd neſcienti accidat, obliuionem præbet, vt ne animo ſuccurrat; etſi prorſus etiam morti concedendum ſit.

